UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL
BERGISCHE UNIVERSITÄT WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Kirchengeschichte

### Eusebius <Caesariensis>

### Leipzig, 1908

I

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2093

Visual Library

# I̅

*Τάδε καὶ ἡ δεκάτη περιέχει βίβλος τῆς Ἐκκλησιαστικῆς ἱστορίας*

Α̅ *Περὶ τῆς ἐκ θεοῦ πρυτανευθείσης ἡμῖν εἰρήνης.*
Β̅ *Περὶ τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως.*
Γ̅ *Περὶ τῶν κατὰ πάντα τόπον ἐγκαινίων.*
Δ̅ *Πανηγυρικὸς ἐπὶ τῇ τῶν πραγμάτων φαιδρότητι.*
[Ε̅ *Ἀντίγραφα βασιλικῶν νόμων περὶ τῶν Χριστιανῶν προσηκόντων.*
ϛ *Περὶ τῆς τῶν κληρικῶν ἀλειτουργησίας.*]
Ζ̅ *Περὶ τῆς Λικιννίου εἰς ὕστερον κακοτροπίας καὶ τῆς καταστροφῆς αὐτοῦ.*
Η̅ *Περὶ τῆς νίκης Κωνσταντίνου καὶ τῶν ὑπ' αὐτοῦ τοῖς ὑπὸ τὴν Ῥωμαίων ἐξουσίαν ὑπαρξάντων.*

7/8 die Titel Ε̅ ϛ̅ sind aus der früheren Ausgabe zugesetzt.

856 Θεῷ δὴ χάρις ἐπὶ πᾶσιν τῷ παντοκράτορι καὶ βασιλεῖ τῶν Ā 1 1
ὅλων, πλείστη δὲ καὶ τῷ σωτῆρι καὶ λυτρωτῇ τῶν ψυχῶν ἡμῶν
Ἰησοῦ Χριστῷ, δι᾽ οὗ τὰ τῆς εἰρήνης ἔκ τε τῶν ἔξωθεν ὀχληρῶν
καὶ τῶν κατὰ διάνοιαν βέβαια καὶ ἀσάλευτα φυλάττεσθαι ἡμῖν διὰ
παντὸς εὐχόμεθα. ἅμα δὲ εὐχαῖς καὶ τὸν δέκατον ἐν τούτῳ τοῖς 2
προδιεξοδευθεῖσιν τῆς Ἐκκλησιαστικῆς ἱστορίας ἐπιθέντες τόμον, σοὶ
τοῦτον ἐπιγράψομεν, ἱερώτατέ μοι Παυλῖνε, ὥσπερ ἐπισφράγισμά σε
τῆς ὅλης ὑποθέσεως ἀναβοώμενοι, εἰκότως δ᾽ ἐν ἀριθμῷ τελείῳ 3
τὸν τέλειον ἐνταῦθα καὶ πανηγυρικὸν τῆς τῶν ἐκκλησιῶν ἀνα-
νεώσεως λόγον κατατάξομεν, θείῳ πνεύματι πειθαρχοῦντες ὧδέ
πως ἐγκελευομένῳ ᾄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ὅτι θαυ-
μαστὰ ἐποίησεν· ἔσωσεν αὐτῷ ἡ δεξιὰ αὐτοῦ καὶ ὁ βρα-
χίων ὁ ἅγιος αὐτοῦ· ἐγνώρισεν κύριος τὸ σωτήριον αὐτοῦ,
ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψεν τὴν δικαιοσύνην αὐ-
τοῦ. καὶ δὴ τῷ λογίῳ προστάττοντι τὸ καινὸν ᾆσμα διὰ τοῦδε 4
νῦν ἀκολούθως ἐπιφωνῶμεν ὅτι δὴ μετὰ τὰς δεινὰς καὶ σκοτεινὰς
ἐκείνας ὄψεις τε καὶ διηγήσεις τοιαῦτα νῦν ὁρᾶν καὶ τοιαῦτα πα-
νηγυρίζειν ἠξιώθημεν, οἷα τῶν πρὸ ἡμῶν πολλοὶ τῷ ὄντι δίκαιοι
καὶ θεοῦ μάρτυρες ἐπεθύμησαν ἐπὶ γῆς ἰδεῖν, καὶ οὐκ εἶδον, καὶ
ἀκοῦσαι, καὶ οὐκ ἤκουσαν. ἀλλ᾽ οἱ μὲν ᾗ τάχος σπεύσαντες τῶν 5
πολὺ κρειττόνων ἔτυχον ἐν αὐτοῖς οὐρανοῖς καὶ παραδείσῳ τῆς ἐν-
858 θέου τρυφῆς ἀναρπασθέντες, ἡμεῖς δὲ καὶ τάδε μείζονα ἢ καθ᾽
ἡμᾶς ὑπάρχειν ὁμολογοῦντες, ὑπερεκπεπλήγμεθα μὲν τῆς τοῦ αἰτίου
μεγαλοδωρεᾶς τὴν χάριν, θαυμάζομεν δὲ εἰκότως ὅλης ψυχῆς δυ-

**1—5** = 852, 2—6 — **11—15** Psalm. 97, 1. 2 — **18/20** Matth. 13, 17 — **21**—S. 858, 1 II Kor. 12, 2—4. Gen. 2, 15

ATERBDMΣ

**3** nach *Χριστῶι* + *τῶι μονογενεῖ τοῦ θεοῦ καὶ τῶι λόγωι αὐτοῦ* Σ [= 852, 4, vgl. 862, 22. 23] | **5** *εὐχαῖσ* TERBDMΣ *σαῖς εὐχαῖσ* A | **12** *αὐτῶ* TBDMΣarm vgl. 866, 11 *αὐτὸν* AERΣ | **21** *ἐν* T durch Rasur, ERBDM *ἔν τ᾽* AT$^1$

**1** *τάδε μείζονα* AERM *τὰ μείζονα* T$^1$ *ταῦτα μείζονα* T$^r$ *τάδε μείνονα* B$^1$D *τάδ᾽ ἀμείνονα* B$^c$Σ | **3** *ὅλησ* ATERMΣ *ὅλη* BD

858 νάμει σέβοντες καὶ ταῖς ἀναγράπτοις προρρήσεσιν ἀλήθειαν ἐπιμαρ-
τυροῦντες, δι᾽ ὧν εἴρηται δεῦτε καὶ ἴδετε τὰ ἔργα κυρίου, ἃ 6
ἔθετο τέρατα ἐπὶ τῆς γῆς, ἀνταναιρῶν πολέμους μέχρι τῶν
περάτων τῆς γῆς· τόξον συντρίψει καὶ συγκλάσει ὅπλον,
καὶ θυρεοὺς κατακαύσει ἐν πυρί· ἐφ᾽ οἷς ἐναργῶς εἰς ἡμᾶς
πεπληρωμένοις χαίροντες, τὸν ἐφεξῆς συνείρωμεν λόγον.
Ἠφάνιστο μὲν δὴ καθ᾽ ὃν δεδήλωται τρόπον πᾶν τὸ τῶν θεο- B 7
μισῶν γένος καὶ τῆς ἀνθρώπων ἀθρόως ὄψεως οὕτως ἐξαλήλειπτο,
ὡς πάλιν ῥῆμα θεῖον τέλος ἔχειν τὸ λέγον εἶδον ἀσεβῆ ὑπερ-
υψούμενον καὶ ὑπεραιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβά-
νου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα τὸν
τόπον αὐτοῦ, καὶ οὐχ εὑρέθη· ἡμέρα δὲ λοιπὸν ἤδη φαιδρὰ καὶ 8
διαυγής, μηδενὸς νέφους αὐτὴν ἐπισκιάζοντος, φωτὸς οὐρανίου βο-
λαῖς ἀνὰ τὴν οἰκουμένην ἅπασαν ταῖς ἐκκλησίαις τοῦ Χριστοῦ κατ-
ηύγαζεν, οὐδέ τις ἦν καὶ τοῖς ἔξωθεν τοῦ καθ᾽ ἡμᾶς θιάσου
φθόνος συναπολαύειν εἰ μὴ τῶν ἴσων, ἀπορροῆς δ᾽ οὖν ὅμως καὶ
μετουσίας τῶν θεόθεν ἡμῖν πρυτανευθέντων. πᾶσι μὲν οὖν ἀν- 2 1
θρώποις τὰ ἐκ τῆς τῶν τυράννων καταδυναστείας ἐλεύθερα ἦν, καὶ
τῶν προτέρων ἀπηλλαγμένοι κακῶν, ἄλλος ἄλλως μόνον ἀληθῆ
θεὸν τὸν τῶν εὐσεβῶν ὑπέρμαχον ὡμολόγει· μάλιστα δ᾽ ἡμῖν τοῖς
ἐπὶ τὸν Χριστὸν τοῦ θεοῦ τὰς ἐλπίδας ἀνηρτημένοις ἄλεκτος παρῆν
860 εὐφροσύνη καί τις ἔνθεος ἅπασιν ἐπήνθει χαρὰ πάντα τόπον τὸν
πρὸ μικροῦ ταῖς τῶν τυράννων δυσσεβείαις ἠριπωμένον ὥσπερ ἐκ
μακρᾶς καὶ θανατηφόρου λύμης ἀναβιώσκοντα θεωμένοις νεώς τε
αὖθις ἐκ βάθρων εἰς ὕψος ἄπειρον ἐγειρομένους καὶ πολὺ κρείττονα
τὴν ἀγλαΐαν τῶν πάλαι πεπολιορκημένων ἀπολαμβάνοντας. ἀλλὰ 2
καὶ βασιλεῖς οἱ ἀνωτάτω συνεχέσι ταῖς ὑπὲρ Χριστιανῶν νομο-
θεσίαις τὰ τῆς ἐκ θεοῦ μεγαλοδωρεᾶς ἡμῖν εἰς μακρὸν ἔτι καὶ μεῖζον
ἐκράτυνον, ἐφοίτα δὲ καὶ εἰς πρόσωπον ἐπισκόποις βασιλέως γράμ-
ματα καὶ τιμαὶ καὶ χρημάτων δόσεις· ὧν οὐκ ἀπὸ τρόπου γένοιτ᾽
ἂν κατὰ τὸν προσήκοντα καιρὸν τοῦ λόγου, ὥσπερ ἐν ἱερᾷ στήλῃ,
τῇδε τῇ βίβλῳ τὰς φωνὰς ἐκ τῆς Ῥωμαίων ἐπὶ τὴν Ἑλλάδα γλῶσσαν

**858, 5—8** Psalm. 45, 9. 10 — **12—15** Psalm. 36, 35. 36

ATERBDMΣΛ

**8** ἐναργῶσ εἰσ ἡμᾶσ BDM εἰσ ἡμᾶσ ἐναργῶσ ATER | **11** ὄψεωσ οὕτωσ ATER οὕτωσ ὄψεωσ BDM | **12** πάλιν ΑΜΣ πάλαι TERBD | **19** εἰ μὴ TERBDMΣΛ ἡμῖν A

**3** θεωμένοισ T^c ERBDM θεώμενοι AT[1] | **11/12** ἐκ — μεταληφθείσας > ΜΣ

860 μεταληφθείσας ἐγχαράξαι, ὡς ἂν καὶ τοῖς μεθ᾽ ἡμᾶς ἅπασιν φέροιντο
διὰ μνήμης.

Ἐπὶ δὴ τούτοις τὸ πᾶσιν εὐκταῖον ἡμῖν καὶ ποθούμενον συνε- Γ 3 1
κροτεῖτο θέαμα, ἐγκαινίων ἑορταὶ κατὰ πόλεις καὶ τῶν ἄρτι νεο-
παγῶν προσευκτηρίων ἀφιερώσεις, ἐπισκόπων ἐπὶ ταὐτὸν συνηλύσεις,
τῶν πόρρωθεν ἐξ ἀλλοδαπῆς συνδρομαί, λαῶν εἰς λαοὺς φιλο-
φρονήσεις, τῶν Χριστοῦ σώματος μελῶν εἰς μίαν συνιόντων ἁρμο-
νίαν ἕνωσις. συνήγετο γοῦν ἀκολούθως προρρήσει προφητικῇ 2
μυστικῶς τὸ μέλλον προσημαινούσῃ ὀστέον πρὸς ὀστέον καὶ ἁρ-
μονία πρὸς ἁρμονίαν καὶ ὅσα θεσπίζων ὁ λόγος δι᾽ αἰνιγμάτων
ἀψευδῶς προανετείνατο, μία τε ἦν θείου πνεύματος διὰ πάντων 3
τῶν μελῶν χωροῦσα δύναμις καὶ ψυχὴ τῶν πάντων μία καὶ προ-
θυμία πίστεως ἡ αὐτὴ καὶ εἷς ἐξ ἁπάντων θεολογίας ὕμνος, ναὶ
μὴν καὶ τῶν ἡγουμένων ἐντελεῖς θρησκεῖαι ἱερουργίαι τε τῶν ἱερω-
μένων καὶ θεοπρεπεῖς ἐκκλησίας θεσμοί, ὧδε μὲν ψαλμῳδίαις καὶ
862 ταῖς λοιπαῖς τῶν θεόθεν ἡμῖν παραδοθεισῶν φωνῶν ἀκροάσεσιν, ὧδε
δὲ θείαις καὶ μυστικαῖς ἐπιτελουμέναις διακονίαις, σωτηρίου τε ἦν
πάθους ἀπόρρητα σύμβολα. ὁμοῦ δὲ πᾶν γένος ἡλικίας ἄρρενός 4
τε καὶ θήλεος φύσεως ὅλῃ διανοίας ἰσχύϊ δι᾽ εὐχῶν καὶ εὐχαριστίας
γεγηθότι νῷ καὶ ψυχῇ τὸν τῶν ἀγαθῶν παραίτιον θεὸν ἐγέραιρον·
ἐκίνει δὲ καὶ λόγους ἅπας τῶν παρόντων ἀρχόντων πανηγυρικούς,
ὡς ἑκάστῳ παρῆν δυνάμεως, θειάζων τὴν πανήγυριν, καί τις ἐν 4 1
μέσῳ παρελθὼν τῶν μετρίως ἐπιεικῶν, λόγου σύνταξιν πεποιημένος,
ὡς ἐν ἐκκλησίας ἀθροίσματι, πλείστων ἐπιπαρόντων ποιμένων ἐν
ἡσυχίᾳ καὶ κόσμῳ τὴν ἀκρόασιν παρεχομένων, ἑνὸς εἰς πρόσωπον τὰ
πάντα ἀρίστου καὶ θεοφιλοῦς ἐπισκόπου, οὗ διὰ σπουδῆς ὁ μάλιστα
τῶν ἀμφὶ τὸ Φοινίκων ἔθνος διαπρέπων ἐν Τύρῳ νεὼς φιλοτίμως
ἐπεσκεύαστο, τοιόνδε παρέσχε λόγον

**20/21** Ezech. 37, 7
**3/4** Ps. 148, 12

ATERBDMΣΔ

**12** *μεταληφθείσασ* ATE *μεταβληθείσασ* RBD | **14** *ἐπὶ δὴ* $T^r$R *ἐπὶ δὲ* A *ἐπὶ* bezeugt Σ *ἐπεὶ δη* $T^1$ *ἐπεὶ δὴ* $B^1$ *ἐπειδὴ* B durch Ras. corr., DM *ἐπεὶ δὲ* $T^c$E | **16** *ἐπισκόπων* TERBDM *ἐπισκόπων τε* A | **19** *γ᾽ οὖν* BDM *δ᾽ οὖν* ATER | **22** *προάνετείνατο* M *προανετείνετο* A, T durch Rasur, ER *προσανετείνατο* $T^1$D *προσαπετείνατο* B | **25** *ἡγουμένων* BDM *προηγουμένων* ATER | *ἐντελεῖσ* BDMΣ *ἐν τέλει* ATER

**2** *ἐπιτελουμέναισ* ABΣ *ἐπιτελούμεναι* $T^1$ERDM *ἐπιτελούμενοι* Tr | *δια-κονίαι* M | *τε* TERBDM *δὲ* A | **6** *ἀρχόντων* > TΣ

862 *ΠΑΝΗΓΥΡΙΚΟΣ ΕΠΙ ΤΗΙ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ ΟΙΚΟΔΟΜΗΙ ΠΑΥ- Δ
ΛΙΝΩΙ ΤΥΡΙΩΝ ΕΠΙΣΚΟΠΩΙ ΠΡΟΣΠΕΦΩΝΗΜΕΝΟΣ*

*Ὦ φίλοι θεοῦ καὶ ἱερεῖς οἱ τὸν ἅγιον ποδήρη καὶ τὸν οὐράνιον 2
τῆς δόξης στέφανον τό τε χρῖσμα τὸ ἔνθεον καὶ τὴν ἱερατικὴν τοῦ
ἁγίου πνεύματος στολὴν περιβεβλημένοι, σύ τε, ὦ νέον ἁγίου νεὼ
θεοῦ σεμνολόγημα, γεραιρᾷ μὲν φρονήσει παρὰ θεοῦ τετιμημένε,
νέας δὲ καὶ ἀκμαζούσης ἀρετῆς ἔργα πολυτελῆ καὶ πράξεις ἐπιδε-
δειγμένε, ᾧ τὸν ἐπὶ γῆς οἶκον αὐτὸς ὁ τὸν σύμπαντα κόσμον περιέ-
χων θεὸς δείμασθαι καὶ ἀνανεοῦν Χριστῷ τῷ μονογενεῖ καὶ πρωτο-
γενεῖ δὲ αὐτοῦ λόγῳ τῇ τε ἁγίᾳ τούτου καὶ θεοπρεπεῖ νύμφῃ γέρας
ἐξαίρετον δεδώρηται, εἴτε τις νέον σε Βεσελεηλ θείας ἀρχιτέκτονα 3
σκηνῆς ἐθέλοι καλεῖν εἴτε Σολομῶνα καινῆς καὶ πολὺ κρείττονος
864 Ἱερουσαλὴμ βασιλέα εἴτε καὶ νέον Ζοροβαβελ τὴν πολὺ κρείττονα
δόξαν τῆς προτέρας τῷ νεῷ τοῦ θεοῦ περιτιθέντα, ἀλλὰ καὶ ὑμεῖς, 4
ὦ τῆς ἱερᾶς ἀγέλης Χριστοῦ θρέμματα, λόγων ἀγαθῶν ἑστία, σω-
φροσύνης παιδευτήριον καὶ θεοσεβείας σεμνὸν καὶ θεοφιλὲς ἀκροα-
τήριον· πάλαι μὲν ἡμῖν τὰς παραδόξους θεοσημίας καὶ τῶν τοῦ 5
κυρίου θαυμάτων τὰς εἰς ἀνθρώπους εὐεργεσίας διὰ θείων ἀνα-
γνωσμάτων ἀκοῇ παραδεχομένοις ὕμνους εἰς θεὸν καὶ ᾠδὰς ἀνα-
πέμπειν ἐξῆν λέγειν παιδευομένοις ὁ θεός, ἐν τοῖς ὠσὶν ἡμῶν
ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργον ὃ εἰρ-
γάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις· ἀλλὰ νῦν 6
γε οὐκέτ᾽ ἀκοαῖς οὐδὲ λόγων φήμαις τὸν βραχίονα τὸν ὑψηλὸν τήν
τε οὐράνιον δεξιὰν τοῦ παναγάθου καὶ παμβασιλέως ἡμῶν θεοῦ
παραλαμβάνουσιν, ἔργοις δ᾽ ὡς ἔπος εἰπεῖν καὶ αὐτοῖς ὀφθαλμοῖς
τὰ πάλαι μνήμῃ παραδεδομένα πιστὰ καὶ ἀληθῆ καθορωμένοις, δεύ-
τερον ὕμνον ἐπινίκιον πάρεστιν ἀναμέλπειν ἐναργῶς τε ἀναφωνεῖν*

**8—10** Psalm. 43, 2 — **11/12** Psalm. 135, 12

ATERBDMΣ

**14/15** *παυλίνω τυρίων ἐπισκόπω προσπεφωνημένοσ* ATERΣ *παυλίνω ἐπισκόπω προσπεφωνημένοσ* M *ῥηθεὶσ* BD | **18** *νέον* TERBDM *νέου* AΣarm > Σa | **19** *γεραιρᾶ μὲν* BD *γεραρᾶι μὲν* A *γεραίρομεν* T¹ERM *γεραρὸν μὲν* TrR > Σ | **23** *δὲ αὐτοῦ* BD *γε αὐτοῦ* M *αὐτοῦ* ATER | *τούτου καὶ θεοπρεπεῖ* BDM *καὶ θεοπρεπεῖ τούτου* ATER

**3** *χυ̅* AT¹BD *τοῦ χυ̅* Tc [getilgt], ERM | **4** *θεοφιλὲσ* ERBDMΣ *θεοσεβὲσ* AT | **5** *θεοσεβείασ* Σ | **7** *παραδεχομένοισ* BDMΣ *παραδεδομένοισ* ATcER *παραδεδομένουσ* T¹ *παραδεδεγμένοισ* Tr | **7/8** *ἀναπέμπειν* ATERΣ *ἀναμέλπειν* BDM | **15** *ἀναπέμπειν* Σ | *ἐνεργῶσ* Σ

864 καὶ λέγειν καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν ἐν πόλει
κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ θεοῦ ἡμῶν. ποίᾳ δὲ 7
πόλει ἢ τῇδε τῇ νεοπαγεῖ καὶ θεοτεύκτῳ; ἥτις ἐστὶν ἐκκλησία
θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας, περὶ ἧς
καὶ ἄλλο τι θεῖον λόγιον ὧδέ πως εὐαγγελίζεται δεδοξασμένα
ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ θεοῦ· ἐφ᾽ ἣν τοῦ παναγάθου
συγκροτήσαντος ἡμᾶς θεοῦ διὰ τῆς τοῦ μονογενοῦς αὐτοῦ χάριτος,
τῶν ἀνακεκλημένων ἕκαστος ὑμνείτω μόνον οὐχὶ βοῶν καὶ λέγων
εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσιν μοι ›εἰς οἶκον κυρίου πορευ-
σόμεθα‹ καὶ κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τό-
πον σκηνώματος δόξης σου, καὶ μὴ μόνον γε ὁ καθεῖς, ἀλλὰ 8
865 καὶ οἱ πάντες ἀθρόως ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ γεραίροντες ἀνευ-
φημῶμεν, μέγας κύριος ἐπιλέγοντες καὶ αἰνετὸς σφόδρα ἐν
πόλει τοῦ θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ. καὶ γὰρ οὖν
μέγας ὡς ἀληθῶς, καὶ μέγας ὁ οἶκος αὐτοῦ, ὑψηλὸς καὶ ἐπιμήκης
καὶ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· μέγας
κύριος ὁ ποιῶν θαυμάσια μόνος· μέγας ὁ ποιῶν μεγάλα καὶ
ἀνεξιχνίαστα ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός·
μέγας ὁ ἀλλοιῶν καιροὺς καὶ χρόνους, μεθιστῶν βασιλεῖς
καὶ καθιστῶν, ἐγείρων ἀπὸ γῆς πτωχὸν καὶ ἀπὸ κοπρίας
ἀνιστῶν πένητα. καθεῖλεν δυνάστας ἀπὸ θρόνων, καὶ
ὕψωσεν ταπεινοὺς ἀπὸ γῆς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν,
καὶ βραχίονας ὑπερηφάνων συνέτριψεν, οὐ πιστοῖς μόνον, ἀλλὰ 9
καὶ ἀπίστοις τῶν παλαιῶν διηγημάτων τὴν μνήμην πιστωσάμενος,
ὁ θαυματουργός, ὁ μεγαλουργός, ὁ τῶν ὅλων δεσπότης, ὁ τοῦ σύμ-
παντος κόσμου δημιουργός, ὁ παντοκράτωρ, ὁ πανάγαθος, ὁ εἷς καὶ
μόνος θεός, ᾧ τὸ καινὸν ᾆσμα μέλπωμεν προσυπακούοντες τῷ
ποιοῦντι θαυμάσια μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
τῷ πατάξαντι βασιλεῖς μεγάλους καὶ ἀποκτείναντι βασι-
λεῖς κραταιούς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· ὅτι ἐν

**16/17** Psalm. 47, 9 — **18/19** I Tim. 3, 15 — **20/21** Psalm. 86, 3 — **24/25** Psalm. 121, 1 — **25/26** Psalm. 25, 8

**2/3** Psalm. 47, 2 — **4** Baruch 3, 24. 25 — **5** Psalm. 44, 3 — **6** Psalm. 71, 18 — **6/7** Iob 9, 10 — **8/9** Dan. 2, 21 — **9/10** Psalm. 112, 7 — **10/11** Luc. 1, 52 — **12** Iob 38, 15 — **16** Psalm. 97, 1 — **16—21** Psalm. 135, 4. 17. 18. 23. 24

ATERBDMΣ

**4** *ἐπιμήκησ* A$T^1$RBDM *εὐμήκησ* $T^c$E *gepriesen* Σ | **5** *υἱοὺσ* A$T^1$BDMΣ *οἴκουσ* $T^{cm}$ER | **6** *κσ* BDM *ὁ κσ* ATER

865 τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν καὶ ἐλυτρώσατο ἡμᾶς
ἐκ τῶν ἐχθρῶν ἡμῶν.
καὶ τὸν μὲν τῶν ὅλων πατέρα τούτοις ἀνευφημοῦντες μή ποτε 10
διαλείποιμεν· τὸν δὲ τῶν ἀγαθῶν ἡμῖν δεύτερον αἴτιον, τὸν τῆς
866 θεογνωσίας εἰσηγητήν, τὸν τῆς ἀληθοῦς εὐσεβείας διδάσκαλον, τὸν
τῶν ἀσεβῶν ὀλετῆρα, τὸν τυραννοκτόνον, τὸν τοῦ βίου διορθωτήν,
τὸν ἡμῶν τῶν ἀπεγνωσμένων σωτῆρα Ἰησοῦν ἀνὰ στόμα φέροντες
γεραίρωμεν, ὅτι δὴ μόνος, οἷα παναγάθου πατρὸς μονώτατος ὑπάρ- 11
χων πανάγαθος παῖς, γνώμῃ τῆς πατρικῆς φιλανθρωπίας τῶν ἐν
φθορᾷ κάτω που κειμένων ἡμῶν εὖ μάλα προθύμως ὑποδὺς τὴν
φύσιν, οἷά τις ἰατρῶν ἄριστος τῆς τῶν καμνόντων ἕνεκεν σωτηρίας
›ὁρῇ μὲν δεινά, θιγγάνει δ' ἀηδέων ἐπ' ἀλλοτρίῃσί τε ξυμφορῇσιν
ἰδίας καρποῦται λύπας‹, οὐ νοσοῦντας αὐτὸ μόνον οὐδ' ἕλκεσι δεινοῖς
καὶ σεσηπόσιν ἤδη τραύμασιν πιεζομένους, ἀλλὰ καὶ ἐν νεκροῖς κει-
μένους ἡμᾶς ἐξ αὐτῶν μυχῶν τοῦ θανάτου αὐτὸς ἑαυτῷ διεσώσατο,
ὅτι μηδ' ἄλλῳ τῳ τῶν κατ' οὐρανὸν τοσοῦτον παρῆν ἰσχύος, ὡς
τῇ τῶν τοσούτων ἀβλαβῶς διακονήσασθαι σωτηρίᾳ. μόνος δ' οὖν 12
καὶ τῆς ἡμῶν αὐτῶν βαρυπαθοῦς φθορᾶς ἐφαψάμενος, μόνος τοὺς
ἡμετέρους ἀνατλὰς πόνους, μόνος τὰ πρόστιμα τῶν ἡμετέρων ἀσε-
βημάτων περιθέμενος, οὐχ ἡμιθνῆτας, ἀλλὰ καὶ πάμπαν ἐν μνήμασι
καὶ τάφοις μυσαροὺς ἤδη καὶ ὀδωδότας ἀναλαβὼν πάλαι τε καὶ νῦν
σπουδῇ τῇ φιλανθρώπῳ παρὰ πᾶσαν τὴν οὔτινος οὖν ἡμῶν τε αὐ-
τῶν ἐλπίδα σῴζει τε καὶ τῶν τοῦ πατρὸς ἀγαθῶν ἀφθονίαν μετα-
δίδωσιν, ὁ ζωοποιός, ὁ φωταγωγός, ὁ μέγας ἡμῶν ἰατρὸς καὶ βασι-
λεὺς καὶ κύριος, ὁ Χριστὸς τοῦ θεοῦ. ἀλλὰ τότε μὲν ἅπαξ ἐν 13
νυκτὶ ζοφερᾷ καὶ σκότῳ βαθεῖ δαιμόνων ἀλιτηρίων πλάνῃ καὶ θεο-
μισῶν πνευμάτων ἐνεργείαις πᾶν τὸ τῶν ἀνθρώπων γένος κατορω-
ρυγμένον αὐτὸ μόνον ἐπιφανείς, ὡς ἂν κηροῦ διατακέντος ταῖς
αὐτοῦ βολαῖς τοῦ φωτός, τὰς πολυδέτους τῶν ἀσεβημάτων ἡμῶν
σειρὰς διελύσατο· νῦν δ' ἐπὶ τῇ τοσαύτῃ χάριτι καὶ εὐεργεσίᾳ τοῦ 14

**8/9** Hippokrates *Περὶ φυσῶν* 1 [VI 90 Littré] — **14—16** vgl. Ies. 53, 4. 5 — **24/25** vgl. Ps. 57, 9

ATERBDM, Σ [—865, 20 *ἐμνήσθη ἡμῶν*], $\Sigma^{arm}$ [von 865, 20 *καὶ ἐλυτρώσατο*]

**22/23** *μὴ — διαλείποιμεν* M *οὐ — διαλείπομεν* BD *μὴ — διαλίποιμεν* ATER | **23** *δεύτερον* > $\Sigma^{arm}$ *σ^η τὴν ἐπιμονὴν τῆσ αἱρετικῆσ αὐτοῦ δόξησ* $T^m E^m$ *ἀρειανίζει* $M^m$ | nach *αἴτιον* + *τὸν τῶν ὅλων δημιουργόν, αὐτὸν θεοῦ λόγον* $\Sigma^{arm}$

**1** *εὐσεβείασ* BDM *θεοσεβείασ* ATER | **11** *αὐτῶν τῶν* M | **12/13** *ὅτι — σωτηρίαι* > $\Sigma^{arm}$ | **12** *ἰσχύοσ* ABD *ἰσχὺσ* TERM | **21** *καὶ θῦ* $M^r$ *ἀρειανίζει* $M^{1m}$ *ὁ υἱὸς τοῦ θεοῦ ζῶντος οὗ ἡ δόξα εἰς αἰῶνα ἀμήν* $\Sigma^{arm}$ | **22** *πλάνῃ* BDM *πλάναισ* ATER | **23/24** nach *κατορωρυγμένον* ergänzt *ὁρῶν* Schw

867 *μισοκάλου φθόνου καὶ φιλοπονήρου δαίμονος μόνον οὐχὶ διαρρηγνυ-
μένου καὶ πάσας αὐτοῦ τὰς θανατοποιοὺς καθ' ἡμῶν ἐπιστρατεύον-
τος δυνάμεις καὶ τὰ μὲν πρῶτα κυνὸς δίκην λυττῶντος, τοὺς
ὀδόντας ἐπὶ τοὺς ἀφιεμένους κατ' αὐτοῦ λίθους προσαράττοντος
καὶ τὸν κατὰ τῶν ἀμυνομένων θυμὸν ἐπὶ τὰ ἄψυχα βλήματα κα-
θιέντος, τοῖς τῶν προσευκτηρίων λίθοις καὶ ταῖς τῶν οἴκων ἀψύ-
χοις ὕλαις τὴν θηριώδη μανίαν ἐπερείσαντος ἐρημίαν τε, ὥς γε δὴ
αὐτὸς ἑαυτῷ ᾤετο, τῶν ἐκκλησιῶν ἀπεργασαμένου, εἶτα δὲ δεινὰ
συρίγματα καὶ τὰς ὀφιώδεις αὐτοῦ φωνὰς τοτὲ μὲν ἀσεβῶν τυράν-
νων ἀπειλαῖς, τοτὲ δὲ βλασφήμοις δυσσεβῶν ἀρχόντων διατάξεσιν
ἀφιέντος καὶ προσέτι τὸν αὐτοῦ θάνατον ἐξερευγομένου καὶ τοῖς
ἰώδεσι καὶ ψυχοφθόροις δηλητηρίοις τὰς ἁλισκομένας πρὸς αὐτοῦ
ψυχὰς φαρμάττοντος καὶ μόνον οὐχὶ νεκροῦντος ταῖς τῶν νεκρῶν
εἰδώλων νεκροποιοῖς θυσίαις πάντα τε ἀνθρωπόμορφον θῆρα καὶ
πάντα τρόπον ἄγριον καθ' ἡμῶν ὑποσαλεύοντος, αὖθις ἐξ ὑπαρχῆς* 15
*ὁ τῆς μεγάλης βουλῆς ἄγγελος, ὁ μέγας ἀρχιστράτηγος τοῦ θεοῦ,
μετὰ τὴν αὐτάρκη διαγυμνασίαν ἣν οἱ μέγιστοι τῆς αὐτοῦ βασιλείας
στρατιῶται διὰ τῆς πρὸς ἅπαντα ὑπομονῆς καὶ καρτερίας ἐνεδείξαντο,
ἀθρόως οὕτως φανείς, τὰ μὲν ἐχθρὰ καὶ πολέμια εἰς ἀφανὲς καὶ τὸ
μηθὲν κατεστήσατο, ὡς μηδὲ πώποτε ὠνομάσθαι δοκεῖν, τὰ δ' αὐτῷ
φίλα καὶ οἰκεῖα δόξης ἐπέκεινα παρὰ πᾶσιν, οὐκ ἀνθρώποις μόνον,
ἀλλ' ἤδη καὶ δυνάμεσιν οὐρανίοις ἡλίῳ τε καὶ σελήνῃ καὶ ἄστροις καὶ
τῷ σύμπαντι οὐρανῷ τε καὶ κόσμῳ προήγαγεν, ὥστε ἤδη, ὃ μηδὲ* 16
*ἄλλοτέ πω, τοὺς πάντων ἀνωτάτω βασιλέας ἧς λελόγχασι παρ' αὐ-
τοῦ τιμῆς συνῃσθημένως νεκρῶν μὲν εἰδώλων καταπτύειν προσώ-
ποις, πατεῖν δ' ἄθεσμα δαιμόνων θέσμια καὶ παλαιᾶς ἀπάτης πατρο-
παραδότου καταγελᾶν, ἕνα δὲ αὐτὸν μόνον θεὸν τὸν κοινὸν ἁπάντων*
868 *καὶ ἑαυτῶν εὐεργέτην γνωρίζειν Χριστόν τε τοῦ θεοῦ παῖδα παμ-
βασιλέα τῶν ὅλων ὁμολογεῖν σωτῆρά τε αὐτὸν ἐν στήλαις ἀναγο-
ρεύειν, ἀνεξαλείπτῳ μνήμῃ τὰ κατορθώματα καὶ τὰς κατὰ τῶν
ἀσεβῶν αὐτοῦ νίκας μέσῃ τῇ βασιλευούσῃ τῶν ἐπὶ γῆς πόλει βασι-*

**16** Ies. 9, 6 — Ios. 5, 14 — **25—27** vgl. Laus Const. 222, 12—14. theoph. 3, 63

ATERBDM, $\Sigma^{arm}$ [bricht mit 5 *θυμόν* ab]

**16** *καὶ ἐνταῦθα* (nämlich *ἀρειανίζει*) $M^m$ | **19** *οὕτωσ* $T^1$BDM *οὗτοσ* $AT^c$ER | **25** *συνῃσθημένωσ* M *συνῃσθημένουσ* $AR^c$BD *συνειθισμένουσ* $T^1$E *συνθεμένουσ* $T^r$ | **27** *καταγελᾶν* $T^r$BM (= Laus Const. 222, 14] *κατεγγελᾶν* AERD *κατεγγελλαν* $T^1$, $T^c$ unleserlich | *αὐτὸν μόνον θν̄* ATER *θν̄ μόνον αὐτὸν* BD *αὐτὸν θν̄* M

868 λικοῖς χαρακτῆρσι προσεγγράφοντας, ὥστε μόνον τῶν ἐξ αἰῶνος
Ἰησοῦν Χριστὸν τὸν ἡμῶν σωτῆρα καὶ πρὸς αὐτῶν τῶν ἐπὶ γῆς
ἀνωτάτω οὐχ οἷα κοινὸν ἐξ ἀνθρώπων βασιλέα γενόμενον ὁμολο-
γεῖσθαι, ἀλλ' οἷα τοῦ καθ' ὅλων θεοῦ παῖδα γνήσιον καὶ αὐτὸν
θεὸν προσκυνεῖσθαι. καὶ εἰκότως· τίς γὰρ τῶν πώποτε βασιλέων 17
τοσοῦτον ἀρετῆς ἠνέγκατο, ὡς πάντων τῶν ἐπὶ γῆς ἀνθρώπων
ἀκοὴν καὶ γλῶτταν ἐμπλῆσαι τῆς αὐτοῦ προσηγορίας; τίς βασιλεὺς
νόμους εὐσεβεῖς οὕτω καὶ σώφρονας διαταξάμενος ἀπὸ περάτων γῆς
καὶ εἰς ἄκρα τῆς ὅλης οἰκουμένης εἰς ἐπήκοον ἅπασιν ἀνθρώποις
ἀναγινώσκεσθαι διαρκῶς ἐκράτυνεν; τίς ἀνημέρων ἐθνῶν ἔθη βάρ- 18
βαρα καὶ ἀνήμερα τοῖς ἡμέροις αὐτοῦ καὶ φιλανθρωποτάτοις παρέ-
λυσε νόμοις; τίς αἰῶσιν ὅλοις ὑπὸ πάντων πολεμούμενος τὴν ὑπὲρ
ἄνθρωπον ἀρετὴν ἐπεδείξατο, ὡς ἀνθεῖν ὁσημέραι καὶ νεάζειν διὰ
παντὸς τοῦ βίου; τίς ἔθνος τὸ μηδὲ ἀκουσθὲν ἐξ αἰῶνος οὐκ ἐν 19
γωνίᾳ ποι γῆς λεληθός, ἀλλὰ καθ' ὅλης τῆς ὑφ' ἥλιον ἱδρύσατο;
τίς εὐσεβείας ὅπλοις οὕτως ἐφράξατο τοὺς στρατιώτας, ὡς ἀδά-
μαντος τὰς ψυχὰς κραταιοτέρους ἐν τοῖς πρὸς τοὺς ἀντιπάλους
ἀγῶσιν διαφαίνεσθαι; τίς βασιλέων ἐς τοσοῦτον κρατεῖ καὶ στρατη- 20
γεῖ μετὰ θάνατον καὶ τρόπαια κατ' ἐχθρῶν ἵστησιν καὶ πάντα
τόπον καὶ χώραν καὶ πόλιν, Ἑλλάδα τε καὶ βάρβαρον, βασιλικῶν
οἴκων αὐτοῦ πληροῖ καὶ θείων ναῶν ἀφιερώμασιν, οἷα τάδε τὰ
τοῦδε τοῦ νεὼ περικαλλῆ κοσμήματά τε καὶ ἀναθήματα; ἃ καὶ αὐτὰ
869 σεμνὰ μὲν ὡς ἀληθῶς καὶ μεγάλα ἐκπλήξεώς τε καὶ θαύματος ἄξια
καὶ οἷα τῆς τοῦ σωτῆρος ἡμῶν βασιλείας ἐναργῆ δείγματα, ὅτι καὶ
νῦν αὐτὸς εἶπεν καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ
ἐκτίσθησαν (τί γὰρ καὶ ἔμελλεν τοῦ παμβασιλέως καὶ πανηγεμόνος
καὶ αὐτοῦ θεοῦ λόγου ἐνστήσεσθαι τῷ νεύματι;), σχολῆς τε λόγων
οἰκείας εἰς ἀκριβῆ θεωρίαν τε καὶ ἑρμηνείαν τυγχάνει δεόμενα· οὐ 21
μὴν ὅσα καὶ οἷα τὰ τῆς τῶν πεπονηκότων προθυμίας κέκριται παρ'

**9—19** vgl. Laus Const. 251, 5—7. 8. 9. 20—25. 29—32. 252, 4—11. theoph. 3. 4. 6. 7. 8. 9 — **20—25** vgl. Laus Const. 257, 4—6. 13—16. theoph. 3, 30. 32
**3/4** Ps. 32, 9 = 148, 5

ATERBDM, Σ [von 868, 6 *πρὸς αὐτῶν*]

**5** *μόνον* T durch Rasur corr., RBDM *μόνων* AT$^1$E | *τὸν* BM | **6** *τὸν* > B | **8** *καθ' ὅλων* BDM *καθόλου* ATER > Σ | **8/9** *αὐτὸν θν̄* TERM *αὐτὸ θν̄* BD *αὐτοθεὸν* A *τὸν λόγον θεοῦ* Σ | **17** nach *νεάζειν* + *τὴν διδασκαλίαν αὐτοῦ* Σ theoph$^{syr}$ 3, 8 | **19** *ἥλιον* TER, B corr., DM [= Laus Const. 252, 11] *ἡλίῳ* AB$^1$ | **22/23** *κρατεῖ καὶ στρατηγεῖ* T$^1$M *κρατεῖ καὶ στρατηγεῖ γε* A, T$^c$ [getilgt], BD *κρατεῖ γε καὶ στρατηγεῖ* T$^{cm}$ [getilgt], ER
**4** *καὶ*$^1$ AT$^1$BDM *οὐκ* T$^r$ER, T$^c$ unleserlich

869 *αὐτῷ τῷ θεολογουμένῳ τὸν ἔμψυχον πάντων ὑμῶν καθορῶντι
ναὸν καὶ τὸν ἐκ ζώντων λίθων καὶ βεβηκότων οἶκον ἐποπτεύοντι
εὖ καὶ ἀσφαλῶς ἱδρυμένον ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων
καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου λίθου αὐτοῦ Ἰησοῦ
Χριστοῦ, ὃν ἀπεδοκίμασαν μὲν οὐχ οἱ τῆς παλαιᾶς καὶ μηκέτ'
οὔσης ἐκείνης μόνον, ἀλλὰ καὶ τῆς εἰς ἔτι νῦν τῶν πολλῶν ἀνθρώ-
πων οἰκοδομῆς κακοὶ κακῶν ὄντες ἀρχιτέκτονες, δοκιμάσας δ' ὁ
πατὴρ καὶ τότε καὶ νῦν εἰς κεφαλὴν γωνίας τῆσδε τῆς κοινῆς
ἡμῶν ἐκκλησίας ἱδρύσατο. τοῦτον δὴ οὖν τὸν ἐξ ὑμῶν αὐτῶν* 22
*ἐπεσκευασμένον ζῶντος θεοῦ ζῶντα ναόν, τὸ μέγιστον καὶ ἀληθεῖ
λόγῳ θεοπρεπὲς ἱερεῖόν φημι, οὗ τὰ ἐνδοτάτω ἄδυτα τοῖς πολλοῖς
ἀθεώρητα καὶ ὄντως ἅγια καὶ τῶν ἁγίων ἅγια, τίς ἂν ἐποπτεύσας
ἐξειπεῖν τολμήσειεν; τίς δὲ κἂν εἰσκύψαι περιβόλων ἱερῶν εἴσω δυ-
νατός, ὅτι μὴ μόνος ὁ μέγας τῶν ὅλων ἀρχιερεύς, ᾧ μόνῳ θέμις
πάσης λογικῆς ψυχῆς τὰ ἀπόρρητα διερευνᾶσθαι; τάχα δὲ καὶ* 23
*ἄλλῳ δευτερεύειν μετὰ τοῦτον ἑνὶ μόνῳ τῶν ἴσων ἐφικτόν, τῷδε
τῷ προκαθημένῳ τῆσδε τῆς στρατιᾶς ἡγεμόνι, ὃν αὐτὸς ὁ πρῶτος
καὶ μέγας ἀρχιερεὺς δευτερείοις τῶν τῇδε ἱερείων τιμήσας, ποιμένα
τῆς ὑμετέρας ἐνθέου ποίμνης κλήρῳ καὶ κρίσει τοῦ πατρὸς τὸν
ὑμέτερον λαχόντα λαόν, ὡς ἂν θεραπευτὴν καὶ ὑποφήτην αὐτὸς
ἑαυτοῦ κατετάξατο, τὸν νέον Ἀαρὼν ἢ Μελχισεδεκ ἀφωμοιωμένον*
870 *τῷ υἱῷ τοῦ θεοῦ μένοντά τε καὶ πρὸς αὐτοῦ τηρούμενον εἰς τὸ
διηνεκὲς ταῖς κοιναῖς ἁπάντων ἡμῶν εὐχαῖς. τούτῳ δὴ οὖν ἐξέστω* 24
*μόνῳ μετὰ τὸν πρῶτον καὶ μέγιστον ἀρχιερέα, εἰ μὴ τὰ πρῶτα, τὰ
δεύτερα γοῦν ὅμως ὁρᾶν τε καὶ ἐπισκοπεῖν τῆς ἐνδοτάτω τῶν ὑμε-
τέρων ψυχῶν θεωρίας, πείρᾳ μὲν καὶ χρόνου μήκει ἕκαστον ἀκριβῶς
ἐξητακότι σπουδῇ τε τῇ αὐτοῦ καὶ ἐπιμελείᾳ τοὺς πάντας ὑμᾶς ἐν
κόσμῳ καὶ λόγῳ τῷ κατ' εὐσέβειαν διατεθειμένῳ δυνατῷ τε ὄντι
μᾶλλον ἁπάντων, ὧν αὐτὸς σὺν θείᾳ δυνάμει κατηρτίσατο, τούτων
τοῖς ἔργοις ἐφαμίλλως ἀποδοῦναι τοὺς λόγους.*
*ὁ μὲν οὖν πρῶτος καὶ μέγας ἡμῶν ἀρχιερεὺς ὅσα βλέπει τὸν* 25
*πατέρα ποιοῦντα, ταῦτα, φησίν, ὁμοίως καὶ ὁ υἱὸς ποιεῖ· ὃ*

**9** I Petr. 2, 5 — **10—12** Eph. 2, 20 — **12. 15** Ps. 117, 22 = Matth. 21, 42. Marc. 12, 10. Luc. 20, 17. I Petr. 2, 7

**870, 10/11** Ioann. 5, 19

ATERBDMΣ

**8** *ὑμῶν* AT$^1$EM *ἡμῶν* T$^r$RBD > Σ | **16** *ἡμῶν* > Σ | **26** *προσ* AT$^1$ T$^r$RBDΣ *πνσ* T$^c$EM

**2** *ἡμῶν* TERBDMΣ *ὑμῶν* A | **10** *ὅσα* RBDMΣ *ἃ* ATE

870 δὲ καὶ αὐτὸς ὡς ἂν ἐπὶ διδάσκαλον τὸν πρῶτον καθαροῖς νοὸς
ὄμμασιν ἀφορῶν, ὅσα βλέπει ποιοῦντα, ὡς ἂν ἀρχετύποις χρώμενος
παραδείγμασιν, τούτων τὰς εἰκόνας, ὡς ἔνι μάλιστα δυνατόν, εἰς τὸ
ὁμοιότατον δημιουργῶν ἀπειργάσατο, οὐδὲν ἐκείνῳ καταλιπὼν τῷ
Βεσελεηλ, ὃν αὐτὸς ὁ θεὸς πνεύματος ἐμπλήσας σοφίας καὶ συνέσεως
καὶ τῆς ἄλλης ἐντέχνου καὶ ἐπιστημονικῆς γνώσεως, τῆς τῶν οὐ-
ρανίων τύπων διὰ συμβόλων ναοῦ κατασκευῆς δημιουργὸν ἀνακέκλη-
ται. ταύτῃ δ' οὖν καὶ ὅδε Χριστὸν ὅλον, τὸν λόγον, τὴν σοφίαν, 26
τὸ φῶς ἐν τῇ αὐτὸς αὐτοῦ ἀγαλματοφορῶν ψυχῇ, οὐδ' ἔστιν εἰπεῖν
οἵᾳ σὺν μεγαλοφροσύνῃ πλουσίᾳ τε καὶ ἀπλήστῳ διανοίας χειρὶ καὶ
σὺν οἵᾳ πάντων ὑμῶν φιλοτιμίᾳ, τῇ τῶν εἰσφορῶν μεγαλοψυχίᾳ
τῆς αὐτῆς αὐτῷ προθέσεως κατὰ μηδένα τρόπον ἀπολειφθῆναι φι-
λονεικότερον μεγαλοφρονουμένων, τὸν μεγαλοπρεπῆ τόνδε θεοῦ τοῦ
ὑψίστου νεὼν τῷ τοῦ κρείττονος παραδείγματι, ὡς ἂν ὁρώμενον μὴ
ὁρωμένου, τὴν φύσιν ἐμφερῆ συνεστήσατο, χῶρον μὲν τόνδε, ὅ τι
καὶ ἄξιον εἰπεῖν πρῶτον ἁπάντων, πάσης οὐ καθαρᾶς ὕλης ἐχθρῶν
ἐπιβουλαῖς κατακεχωσμένον οὐ παριδὼν οὐδὲ τῇ τῶν αἰτίων παρα-
871 χωρήσας κακίᾳ, ἐξὸν ἐφ' ἕτερον ἐλθόντα, μυρίων ἄλλων εὐπορου-
μένων τῇ πόλει, ῥαστώνην εὕρασθαι τοῦ πόνου καὶ πραγμάτων
ἀπηλλάχθαι. ὃ δὲ πρῶτον αὐτὸν ἐπὶ τὸ ἔργον ἐγείρας, εἶτα δὲ τὸν 27
σύμπαντα λαὸν προθυμίᾳ ῥώσας καὶ μίαν ἐξ ἁπάντων μεγάλην χεῖρα
συναγαγών, πρῶτον ἆθλον ἠγωνίζετο, αὐτὴν δὴ μάλιστα τὴν ὑπὸ
τῶν ἐχθρῶν πεπολιορκημένην, αὐτὴν τὴν προπονήσασαν καὶ τοὺς
αὐτοὺς ἡμῖν καὶ πρὸ ἡμῶν διωγμοὺς ὑπομείνασαν, τὴν μητρὸς δίκην
τῶν τέκνων ἐρημωθεῖσαν ἐκκλησίαν συναπολαῦσαι δεῖν οἰόμενος
τῆς τοῦ παναγάθου μεγαλοδωρεᾶς. ἐπειδὴ γὰρ τοὺς παῖδας αὖθις 28
ὁ μέγας ποιμήν, τοὺς θῆρας καὶ τοὺς λύκους καὶ πᾶν ἀπηνὲς καὶ
ἄγριον γένος ἀποσοβήσας καὶ τὰς μύλας τῶν λεόντων, ᾗ φησιν
τὰ θεῖα λόγια, συντρίψας, ἐπὶ ταὐτὸν αὖθις συνελθεῖν ἠξίωσεν, δι-
καιότατα καὶ τῆς ποίμνης τὴν μάνδραν ἀνίστη τοῦ καταισχῦναι
ἐχθρὸν καὶ ἐκδικητὴν καὶ ὡς ἂν ἔλεγχον ταῖς θεομάχοις τῶν
ἀσεβῶν προαγάγοι τόλμαις. καὶ νῦν οἳ μὲν οὐκ εἰσὶν οἱ θεομισεῖς, 29
ὅτι μηδὲ ἦσαν, ἐς βραχὺ δὲ ταράξαντες καὶ ταραχθέντες, εἶθ' ὑπο-

**15–19** Exod. 31, 2. 3 — **26–871, 1** vgl. Vit. Const. 90, 15–20
**5. 6. 8. 9** vgl. Vit. Const. 90, 15–20 — **11** Psalm. 57, 7 — **13/14** Psalm. 8, 3 — **15/16** vgl. Apoc. 17, 8. 11

ATERBDMΣ

**18** *συμβόλων* ABDMΣ *συμβόλου* TER | **22** *σὺν οἵᾳ* ATER *εὐνοίᾳ* BD *συννοίᾳ* M | **28** *αἰτίων*] *ἐτῶν* Σ [Nestle]
**13** *ἀνίστη* ABD *ἵστη* TERM

871 σχόντες τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ, ἑαυτοὺς καὶ φίλους καὶ οἴκους
ἄρδην ἀναστάτους κατέστησαν, ὡς τὰς πάλαι στήλαις ἱεραῖς καταγρα-
φείσας προρρήσεις ἔργοις πιστὰς ὁμολογεῖσθαι, δι᾽ ὧν τά τε ἄλλα ὁ
θεῖος ἐπαληθεύει λόγος, ἀτὰρ καὶ τάδε περὶ αὐτῶν ἀποφαινόμενος
ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, ἐνέτειναν τόξον αὐτῶν 30
τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐ-
θεῖς τῇ καρδίᾳ· ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας
αὐτῶν καὶ τὰ τόξα αὐτῶν συντριβείη καὶ πάλιν ἀπώλετο
τὸ μνημόσυνον αὐτῶν μετ᾽ ἤχου, καὶ τὸ ὄνομα αὐτῶν ἐξή-
λειπται εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ὅτι δὴ
872 καὶ ἐν κακοῖς γενόμενοι ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σῴζων· πρὸς
κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, ἀλλ᾽ οἳ μὲν συνεποδί-
σθησαν καὶ ἔπεσαν, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν·
καὶ τό γ᾽ ἐν τούτοις προαναφωνοῦν κύριε, ἐν τῇ πόλει σου τὴν
εἰκόνα αὐτῶν ἐξουδενώσεις ἀληθὲς ὑπ᾽ ὀφθαλμοῖς πάντων ἀνα-
πέφανται. ἀλλ᾽ οἳ μὲν γιγάντων τρόπον θεομαχίαν ἐνστησάμενοι 31
τοιαύτην εἰλήχασιν τὴν τοῦ βίου καταστροφήν· τῆς δ᾽ ἐρήμου καὶ
παρ᾽ ἀνθρώποις ἀπεγνωσμένης τοιαῦτα οἷα τὰ ὁρώμενα τῆς κατὰ
θεὸν ὑπομονῆς τὰ τέλη, ὡς ἀναφωνεῖν αὐτῇ τὴν προφητείαν Ἠσαΐου
ταῦτα εὐφράνθητι, ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος 32
καὶ ἀνθείτω ὡς κρίνον· καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ
ἔρημα. ἰσχύσατε, χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυ-
μένα· παρακαλέσατε, ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ
φοβεῖσθε. ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσιν καὶ
ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς· ὅτι, φησίν, ἐρ-
ράγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ, καὶ ἡ
ἄνυδρος ἔσται εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδα-
τος ἔσται. καὶ τάδε μὲν λόγοις πάλαι προθεσπισθέντα βίβλοις 33
ἱεραῖς καταβέβλητο, τά γε μὴν ἔργα οὐκέτ᾽ ἀκοαῖς, ἀλλ᾽ ἔργοις ἡμῖν
παραδέδοται. ἡ ἔρημος ἥδε, ἡ ἄνυδρος, ἡ χήρα καὶ ἀπερίστατος,
ἧς ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς πύλας, ἐπὶ τὸ
αὐτὸ ἐν πέλυκι καὶ λαξευτηρίῳ συνέτριψαν αὐτήν, ἧς καὶ τὰς

**21—24** Psalm. 36, 14. 15 — **24—26** Psalm. 9, 7. 6
**1. 2** Psalm. 17, 42 — **2. 3** Psalm. 19, 9 — **4/5** Psalm. 72, 20 — **10—18** Ies. 35, 1—4. 6. 7 — **21—24** Psalm. 73, 5—7

ATERBDMΣ

**19** *προρρήσεισ* AT$^r$BDΣ *προσρήσεισ* T$^1$ERM | **25/26** *ἐξήλειπται* BDMΣ *ἐξήλειψασ* ATER
**4** *γ᾽* BD *γε* R *τε* AT$^1$EM getilgt T | **18** *πρόπαλαι θεσπισθέντα* BD

872 βίβλους διαφθείραντες ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριον τοῦ
θεοῦ, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματος
873 αὐτοῦ, ἣν ἐτρύγησαν πάντες οἱ παραπορευόμενοι τὴν ὁδὸν
προκαθελόντες αὐτῆς τοὺς φραγμούς, ἣν ἐλυμήνατο ὗς ἐκ δρυ-
μοῦ καὶ μονιὸς ἄγριος κατενεμήσατο, Χριστοῦ δυνάμει παρα-
δόξῳ νῦν, ὅτε θέλει αὐτός, γέγονεν ὡς κρίνον· ἐπεὶ καὶ τότε αὐ-
τοῦ νεύματι, ὡς ἂν προκηδομένου πατρός, ἐπαιδεύετο· ὃν γὰρ
ἀγαπᾷ κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παρα-
δέχεται. μέτρῳ δῆτα κατὰ τὸ δέον ἐπιστραφεῖσα, αὖθις ἄνωθεν 34
ἐξ ὑπαρχῆς ἀγαλλιᾶν προστάττεται ἐξανθεῖ τε ὡς κρίνον καὶ τῆς
ἐνθέου εὐωδίας εἰς πάντας ἀποπνεῖ ἀνθρώπους, ὅτι, φησίν, ἐρράγη
ἐν τῇ ἐρήμῳ ὕδωρ τὸ νᾶμα τῆς θείας τοῦ σωτηρίου λουτροῦ πα-
λιγγενεσίας, καὶ νῦν γέγονεν ἡ πρὸ μικροῦ ἔρημος εἰς ἕλη, καὶ εἰς
τὴν διψῶσαν γῆν ἔβρυσεν πηγὴ ὕδατος ζῶντος, ἴσχυσάν τε ὡς
ἀληθῶς χεῖρες αἱ τὸ πρὶν ἀνειμέναι, καὶ τῆς τῶν χειρῶν ἰσχύος
ἔργα τάδε τὰ μεγάλα καὶ ἐναργῆ δείγματα· ἀλλὰ καὶ τὰ πάλαι σε-
σαθρωμένα καὶ παρειμένα γόνατα τὰς οἰκείας ἀπολαβόντα βάσεις,
τὴν ὁδὸν τῆς θεογνωσίας εὐθυποροῦντα βαδίζει, ἐπὶ τὴν οἰκείαν
ποίμνην τοῦ παναγάθου ποιμένος σπεύδοντα. εἰ δὲ καὶ ταῖς τῶν 35
τυράννων ἀπειλαῖς τὰς ψυχάς τινες ἀπενάρκησαν, οὐδὲ τούτους ὁ
σωτήριος ἀθεραπεύτους παρορᾷ λόγος, εὖ μάλα δὲ καὶ αὐτοὺς ἰώ-
μενος ἐπὶ τὴν τοῦ θείου παράκλησιν παρορμᾷ λέγων παρακαλέ- 36
σατε, οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε.
τούτων δεῖν ἀπολαῦσαι τὴν διὰ θεὸν γενομένην ἔρημον τοῦ
λόγου προαγορεύοντος, ἐπακούσας ὀξείᾳ διανοίας ἀκοῇ οὗτος ὁ νέος
ἡμῶν καὶ καλὸς Ζοροβαβελ μετὰ τὴν πικρὰν ἐκείνην αἰχμαλωσίαν
καὶ τὸ βδέλυγμα τῆς ἐρημώσεως, οὐ παριδὼν τὸ πτῶμα νεκρόν,
πρώτιστα πάντων παρακλήσεσιν καὶ λιταῖς ἵλεω τὸν πατέρα μετὰ
τῆς κοινῆς ὑμῶν ἁπάντων ὁμοφροσύνης καταστησάμενος καὶ τὸν
μόνον νεκρῶν ζωοποιὸν σύμμαχον παραλαβὼν καὶ συνεργόν, τὴν
874 πεσοῦσαν ἐξήγειρεν προαποκαθάρας καὶ προθεραπεύσας τῶν κακῶν,
καὶ στολὴν οὐ τὴν ἐξ ἀρχαίου παλαιὰν αὐτῇ περιτέθεικεν, ἀλλ᾽
ὁποίαν αὖθις παρὰ τῶν θείων χρησμῶν ἐξεπαιδεύετο, σαφῶς ὧδε

**873, 1—3** Psalm. 79, 13. 14 — **5—7** Hebr. 12, 6 — **25** Dan. 9, 27

ATERBDM, Σ [—4 *νῦν*]

**23** *διαφθείραντεσ* ATcERBD *διαφθείροντεσ* T1M

**20** *ἐπὶ* TERBDM *εἰσ* A | **27** *ὑμῶν ἁπάντων* ABD *ἁπάντων ἡμῶν* M1 *ἁπάντων ὑμῶν* M1 corr. *ἡμῶν ἁπάντων ὑμῶν* TE *ἡμῶν ἁπάντων* R

**1** *προθεραπεύσασ* ABD *θεραπεύσασ* TERM

874 λεγόντων καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ
τὴν προτέραν. ταύτῃ δ' οὖν πολὺ μείζονα τὸν χῶρον ἅπαντα 37
περιλαβών, τὸν μὲν ἔξωθεν ὠχυροῦτο περίβολον τῷ τοῦ παντὸς
περιτειχίσματι, ὡς ἂν ἀσφαλέστατον εἴη τοῦ παντὸς ἕρκος· πρόπυ- 38
λον δὲ μέγα καὶ εἰς ὕψος ἐπηρμένον πρὸς αὐτὰς ἀνίσχοντος ἡλίου
ἀκτῖνας ἀναπετάσας, ἤδη καὶ τοῖς μακρὰν περιβόλων ἔξω ἱερῶν
ἑστῶσιν τῆς τῶν ἔνδον παρέσχεν ἀφθονίαν θέας, μόνον οὐχὶ καὶ
τῶν ἀλλοτρίων τῆς πίστεως ἐπὶ τὰς πρώτας εἰσόδους ἐπιστρέφων
τὰς ὄψεις, ὡς ἂν μὴ παρατρέχοι τις ὅτι μὴ τὴν ψυχὴν κατανυγεὶς
πρότερον μνήμῃ τῆς τε πρὶν ἐρημίας καὶ τῆς νῦν παραδόξου θαυ-
ματουργίας, ὑφ' ἧς τάχα καὶ ἑλκυσθήσεσθαι κατανυγέντα καὶ πρὸς
αὐτῆς τῆς ὄψεως ἐπὶ τὴν εἴσοδον προτραπήσεσθαι ἤλπισεν. εἴσω 39
δὲ παρελθόντι πυλῶν οὐκ εὐθὺς ἐφῆκεν ἀνάγνοις καὶ ἀνίπτοις ποσὶν
τῶν ἔνδον ἐπιβαίνειν ἁγίων, διαλαβὼν δὲ πλεῖστον ὅσον τὸ μεταξὺ
τοῦ τε νεὼ καὶ τῶν πρώτων εἰσόδων, τέτταρσι μὲν πέριξ ἐγκαρ-
σίοις κατεκόσμησεν στοαῖς, εἰς τετράγωνόν τι σχῆμα περιφράξας τὸν
τόπον, κίοσι πανταχόθεν ἐπαιρομέναις· ὧν τὰ μέσα διαφράγμασι
τοῖς ἀπὸ ξύλου δικτυωτοῖς ἐς τὸ σύμμετρον ἥκουσι μήκους περι-
κλείσας, μέσον αἴθριον ἠφίει εἰς τὴν τοῦ οὐρανοῦ κάτοψιν, λαμπρὸν
καὶ ταῖς τοῦ φωτὸς ἀκτῖσιν ἀνειμένον ἀέρα παρέχων. ἱερῶν δ' 40
ἐνταῦθα καθαρσίων ἐτίθει σύμβολα, κρήνας ἄντικρυς εἰς πρόσωπον
ἐπισκευάζων τοῦ νεὼ πολλῷ τῷ χεύματι τοῦ νάματος τοῖς περι-
βόλων ἱερῶν ἐπὶ τὰ ἔσω προϊοῦσιν τὴν ἀπόρρυψιν παρεχομένας. καὶ
πρώτη μὲν εἰσιόντων αὕτη διατριβή, κόσμον ὁμοῦ καὶ ἀγλαΐαν τῷ
παντὶ τοῖς τε τῶν πρώτων εἰσαγωγῶν ἔτι δεομένοις κατάλληλον
τὴν μονὴν παρεχομένη· ἀλλὰ γὰρ καὶ τὴν τούτων θέαν παραμειψά- 41
875 μενος, πλείοσιν ἔτι μᾶλλον τοῖς ἐνδοτάτω προπύλοις τὰς ἐπὶ τὸν
νεὼν παρόδους ἀναπεπταμένας ἐποίει, ὑπὸ μὲν ταῖς ἡλίου βολαῖς
αὖθις τρεῖς πύλας ὑφ' ἓν καταθεὶς πλευρόν, ὧν πολὺ τὰς παρ' ἑκά-
τερα μεγέθει τε καὶ πλάτει πλεονεκτεῖν τῇ μέσῃ χαρισάμενος παρα-
πήγμασί τε χαλκοῦ σιδηροδέτοις καὶ ποικίλμασιν ἀναγλύφοις διαφε-
ρόντως αὐτὴν φαιδρύνας, ὡς ἂν βασιλίδι ταύτῃ τοὺς δορυφόρους
ὑπέζευξεν· τὸν αὐτὸν δὲ τρόπον καὶ ταῖς παρ' ἑκάτερα τοῦ παντὸς 42
νεὼ στοαῖς τὸν τῶν προπύλων ἀριθμὸν διατάξας, ἄνωθεν ἐπὶ ταύ-
ταις ἄλλῳ πλείονι φωτὶ διαφόρους τὰς ἐπὶ τὸν οἶκον εἰσβολὰς
ἐπενόει, ταῖς ἀπὸ ξύλου λεπτουργίαις καὶ τὸν περὶ αὐτὰς κόσμον

**874, 4/5** Hagg. 2, 9 vgl. theoph. gr 27, 29—32

ATERBDM

**18** τε ABD > TERM | **23** παρέχων TERBDM παρέχον A

**3** πολὺ T durch Rasur corr., ERBD τὸ πολὺ AT$^{1}$M

875 καταποικίλλων. τὸν δὲ βασίλειον οἶκον πλουσιωτέραις ἤδη καὶ
δαψιλέσι ταῖς ὕλαις ὠχύρου, ἀφθόνῳ φιλοτιμίᾳ τῶν ἀναλωμάτων
χρώμενος· ἔνθα μοι δοκῶ περιττὸν εἶναι τοῦ δομήματος μήκη τε 43
καὶ πλάτη καταγράφειν, τὰ φαιδρὰ ταῦτα κάλλη καὶ τὰ λόγου
κρείττονα μεγέθη τήν τε τῶν ἔργων ἀποστίλβουσαν ὄψιν τῷ λόγῳ
διεξιόντι ὕψη τε τὰ οὐρανομήκη καὶ τὰς τούτων ὑπερκειμένας πο-
λυτελεῖς τοῦ Λιβάνου κέδρους, ὧν οὐδὲ τὸ θεῖον λόγιον τὴν μνήμην
ἀπεσιώπησεν εὐφρανθήσεται φάσκον τὰ ξύλα τοῦ κυρίου, καὶ
αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσεν. τί με δεῖ νῦν τῆς 44
πανσόφου καὶ ἀρχιτεκτονικῆς διατάξεως καὶ τοῦ κάλλους τῆς ἐφ'
ἑκάστου μέρους ὑπερβολῆς ἀκριβολογεῖσθαι τὴν ὑφήγησιν, ὅτε τῆς
ὄψεως τὴν διὰ τῶν ὤτων ἀποκλείει μάθησιν ἡ μαρτυρία; ἀλλὰ γὰρ
ὧδε καὶ τὸν νεὼν ἐπιτελέσας θρόνοις τε τοῖς ἀνωτάτω εἰς τὴν τῶν
προέδρων τιμὴν καὶ προσέτι βάθροις ἐν τάξει τοῖς καθ' ὅλου κατὰ
τὸ πρέπον κοσμήσας ἐφ' ἅπασίν τε τὸ τῶν ἁγίων ἅγιον θυσιαστήριον
ἐν μέσῳ θείς, αὖθις καὶ τάδε, ὡς ἂν εἴη τοῖς πολλοῖς ἄβατα, τοῖς
ἀπὸ ξύλου περιέφραττε δικτύοις εἰς ἄκρον ἐντέχνου λεπτουργίας
ἐξησκημένοις, ὡς θαυμάσιον τοῖς ὁρῶσιν παρέχειν τὴν θέαν. ἀλλ' 45
οὐδὲ τοὔδαφος ἄρα εἰς ἀμελὲς ἔκειτο αὐτῷ· καὶ τόδε γοῦν λίθῳ
876 μαρμάρῳ εὖ μάλα κόσμῳ παντὶ λαμπρύνας, ἤδη λοιπὸν καὶ ἐπὶ τὰ
ἐκτὸς τοῦ νεὼ μετῄει, ἐξέδρας καὶ οἴκους τοὺς παρ' ἑκάτερα με-
γίστους ἐπισκευάζων ἐντέχνως ἐπὶ ταὐτὸν εἰς πλευρὰ τῷ βασιλείῳ
συνεζευγμένους καὶ ταῖς ἐπὶ τὸν μέσον οἶκον εἰσβολαῖς ἡνωμένους·
ἃ καὶ αὐτὰ τοῖς ἔτι καθάρσεως καὶ περιρραντηρίων τῶν διὰ ὕδατος
καὶ ἁγίου πνεύματος ἐγχρῄζουσιν ὁ εἰρηνικώτατος ἡμῶν Σολομὼν ὁ
τὸν νεὼν τοῦ θεοῦ δειμάμενος ἀπειργάζετο, ὡς μηκέτι λόγον, ἀλλ'
ἔργον γεγονέναι τὴν ἄνω λεχθεῖσαν προφητείαν· γέγονεν γὰρ καὶ 46
νῦν ὡς ἀληθῶς ἐστιν ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ
τὴν προτέραν. ἔδει γὰρ καὶ ἀκόλουθον ἦν τοῦ ποιμένος αὐτῆς
καὶ δεσπότου ἅπαξ τὸν ὑπὲρ αὐτῆς θάνατον καταδεξαμένου καὶ μετὰ
τὸ πάθος, ὃ χάριν αὐτῆς ῥυπῶν ἐνεδύσατο σῶμα ἐπὶ τὸ λαμπρὸν
καὶ ἔνδοξον μεταβεβληκότος αὐτήν τε σάρκα τὴν λυθεῖσαν ἐκ φθο-
ρᾶς εἰς ἀφθαρσίαν ἀγαγόντος, καὶ τήνδε ὁμοίως τῶν τοῦ σωτῆρος
οἰκονομιῶν ἐπαύρασθαι, ὅτι δὴ καὶ τούτων πολὺ κρείττονα λαβοῦσα

**18/19** Psalm. 103, 16
**9/10** 874, 4/5

ATERBDM

**3** ἐντέχνωσ TERDM εὐτέχνωσ ABr ἀτέχνωσ B1 | **15** κρείττονα BD κρεῖττον AT1M κρείττω TcER

876 παρ' αὐτοῦ τὴν ἐπαγγελίαν, τὴν πολὺ μείζονα δόξαν τῆς παλιγγε-
νεσίας ἐν ἀφθάρτου σώματος ἀναστάσει μετὰ φωτὸς ἀγγέλων χο-
ρείας ἐν τοῖς οὐρανῶν ἐπέκεινα τοῦ θεοῦ βασιλείοις σὺν αὐτῷ
Χριστῷ Ἰησοῦ τῷ πανευεργέτῃ καὶ σωτῆρι διαρκῶς ἐπὶ τοὺς ἑξῆς
αἰῶνας ἀπολαβεῖν ποθεῖ. ἀλλὰ γὰρ τέως ἐπὶ τοῦ παρόντος τού- 47
τοις ἡ πάλαι χήρα καὶ ἔρημος θεοῦ χάριτι περιβληθεῖσα τοῖς ἄνθεσιν
γέγονεν ἀληθῶς ὡς κρίνον, ᾗ φησιν ἡ προφητεία, καὶ τὴν νυμφι-
κὴν ἀναλαβοῦσα στολὴν τόν τε τῆς εὐπρεπείας περιθεμένη στέφανον
οἷα χορεύειν διὰ Ἡσαΐου παιδεύεται τὰ χαριστήρια τῷ βασιλεῖ θεῷ
φωναῖς εὐφήμοις γεραίρουσα, αὐτῆς λεγούσης ἐπακούωμεν ἀγαλ- 48
λιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ· ἐνέδυσεν γάρ με ἱμάτιον
σωτηρίου καὶ χιτῶνα εὐφροσύνης· περιέθηκέν μοι ὡς νυμ-
φίῳ μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέν με κόσμῳ· καὶ
ὡς γῆν αὔξουσαν τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρ-
ματα αὐτοῦ ἀνατελεῖ, οὕτως κύριος κύριος ἀνέτειλεν
877 δικαιοσύνην καὶ ἀγαλλίαμα ἐνώπιον πάντων τῶν ἐ-
θνῶν. τούτοις μὲν οὖν αὕτη χορεύει· οἵοις δὲ καὶ ὁ νυμφίος, 49
λόγος ὁ οὐράνιος, αὐτὸς Ἰησοῦς Χριστὸς αὐτὴν ἀμείβεται, ἄκουε
λέγοντος κυρίου μὴ φοβοῦ ὅτι κατῃσχύνθης μηδὲ ἐντραπῇς
ὅτι ὠνειδίσθης· ὅτι αἰσχύνην αἰώνιον ἐπιλήσῃ καὶ ὄνειδος
τῆς χηρείας σου οὐ μὴ μνησθήσῃ. οὐχ ὡς γυναῖκα ἐγκατα-
λελειμμένην καὶ ὀλιγόψυχον κέκληκέν σε κύριος οὐδ' ὡς
γυναῖκα ἐκ νεότητος μεμισημένην. εἶπεν ὁ θεός σου· χρό-
νον μικρὸν ἐγκατέλιπόν σε, καὶ ἐν ἐλέῳ μεγάλῳ ἐλεήσω
σε· ἐν θυμῷ μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπὸ σοῦ,
καὶ ἐν ἐλέῳ αἰωνίῳ ἐλεήσω σε· εἶπεν ὁ ῥυσάμενός σε κύ-
ριος. ἐξεγείρου, ἐξεγείρου, ἡ πιοῦσα ἐκ χειρὸς κυρίου τὸ 50
ποτήριον τοῦ θυμοῦ αὐτοῦ· τὸ ποτήριον γὰρ τῆς πτώσεως,
τὸ κόνδυ τοῦ θυμοῦ μου, ἐξέπιες καὶ ἐξεκένωσας. καὶ οὐκ
ἦν ὁ παρακαλῶν σε ἀπὸ πάντων τῶν τέκνων σου ὧν ἔτε-
κες, καὶ οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῆς χειρός σου. ἰδοὺ
εἴληφα ἐκ τῆς χειρός σου τὸ ποτήριον τῆς πτώσεως, τὸ
κόνδυ τοῦ θυμοῦ μου, καὶ οὐ προσθήσεις ἔτι πιεῖν αὐτό·
καὶ δώσω αὐτὸ εἰς τὰς χεῖρας τῶν ἀδικησάντων σε καὶ τῶν
ταπεινωσάντων σε. ἐξεγείρου, ἐξεγείρου, ἔνδυσαι τὴν 51

**22** Ies. 35, 1 — **25**—S. 877, 2 Ies. 61, 10
**4—12** Ies. 54, 4. 6—8 — **12—23** Ies. 51, 17. 18. 22. 23. 52, 1. 2

ATERBDM, Σ [von 15 *ὁ παρακαλῶν*]
**25** *ἐπακούωμεν* T¹ERDM *ἐπακούσωμεν* ATrB

877 ἰσχύν, ἔνδυσαι τὴν δόξαν σου· ἐκτίναξαι τὸν χοῦν καὶ
ἀνάστηθι. κάθισον, ἔκλυσαι τὸν δεσμὸν τοῦ τραχήλου
σου. ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ ἴδε συνηγμένα
τὰ τέκνα σου· ἰδοὺ συνήχθησαν καὶ ἦλθον πρός σε· ζῶ ἐγώ,
λέγει κύριος, ὅτι πάντας αὐτοὺς ὡς κόσμον ἐνδύσῃ καὶ
περιθήσῃ αὐτοὺς ὡς κόσμον νύμφης· ὅτι τὰ ἔρημά σου καὶ
τὰ διεφθαρμένα καὶ τὰ καταπεπτωκότα νῦν στενοχωρήσει
ἀπὸ τῶν κατοικούντων σε, καὶ μακρυνθήσονται ἀπὸ σοῦ
οἱ καταπίνοντές σε. ἐροῦσιν γὰρ εἰς τὰ ὦτά σου οἱ υἱοί 52
878 σου οὓς ἀπολώλεκας »στενός μοι ὁ τόπος, ποίησόν μοι τό-
πον ἵνα κατοικήσω«, καὶ ἐρεῖς ἐν τῇ καρδίᾳ σου »τίς
ἐγέννησέν μοι τούτους; ἐγὼ δὲ ἄτεκνος καὶ χήρα, τούτους
δὲ τίς ἐξέθρεψέν μοι; ἐγὼ δὲ κατελείφθην μόνη, οὗτοι δέ
μοι ποῦ ἦσαν;« ταῦτα Ἡσαΐας προεθέσπισεν, ταῦτα πρόπαλαι 53
περὶ ἡμῶν ἐν ἱεραῖς βίβλοις καταβέβλητο, χρῆν δέ που τούτων τὴν
ἀψεύδειαν ἤδη ποτὲ ἔργοις παραλαβεῖν. ἀλλὰ γὰρ τοιαῦτα τοῦ 54
νυμφίου λόγου πρὸς τὴν ἑαυτοῦ νύμφην τὴν ἱερὰν καὶ ἁγίαν ἐκ-
κλησίαν ἐπιφωνοῦντος, εἰκότως ὁ νυμφοστόλος ὅδε αὐτήν, τὴν ἔρη-
μον, τὴν πτῶμα κειμένην, τὴν παρὰ ἀνθρώποις ἀνέλπιδα, ταῖς κοι-
ναῖς ἁπάντων ἡμῶν εὐχαῖς χεῖρας τὰς ὑμῶν αὐτῶν ὀρέξας ἐξήγειρεν
καὶ ἐξανέστησεν θεοῦ τοῦ παμβασιλέως νεύματι καὶ τῆς Ἰησοῦ Χρι-
στοῦ δυνάμεως ἐπιφανείᾳ τοιαύτην τε ἀναστήσας κατεστήσατο, οἵαν
ἐκ τῆς τῶν ἱερῶν χρησμῶν καταγραφῆς ἐδιδάσκετο.

θαῦμα μὲν οὖν μέγιστον τοῦτο καὶ πέρα πάσης ἐκπλήξεως, μά- 55
λιστα τοῖς ἐπὶ μόνῃ τῇ τῶν ἔξωθεν φαντασίᾳ τὸν νοῦν προσανέ-
χουσιν· θαυμάτων δὲ θαυμασιώτερα τά τε ἀρχέτυπα καὶ τούτων τὰ
πρωτότυπα νοητὰ καὶ θεοπρεπῆ παραδείγματα, τὰ τῆς ἐνθέου φημὶ καὶ
λογικῆς ἐν ψυχαῖς οἰκοδομῆς ἀνανεώματα· ἣν αὐτὸς ὁ θεόπαις κατ' 56
εἰκόνα τὴν αὐτὸς αὐτοῦ δημιουργήσας πάντῃ τε καὶ κατὰ πάντα τὸ
θεοείκελον δεδωρημένος, ἄφθαρτον φύσιν, ἀσώματον, λογικήν, πάσης
γεώδους ὕλης ἀλλοτρίαν, αὐτονοερὰν οὐσίαν, ἅπαξ τὸ πρῶτον ἐκ
τοῦ μὴ ὄντος εἰς τὸ εἶναι συστησάμενος, νύμφην ἁγίαν καὶ νεὼν
πανίερον ἑαυτῷ τε καὶ τῷ πατρὶ κατειργάσατο· ὃ καὶ σαφῶς αὐτὸς
ὁμολογῶν ἐκφαίνει, λέγων ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπα-

**23**—S. 878, 5 Ies. 49, 18—21
**19/20** Gen. 1, 26 — **25/26** II Kor. 6, 16

ATERBDMΣ
**11** ἡμῶν TERBDMΣ ὑμῶν A | **12** ἐξανέστησεν ABD ἀνέστησεν TERM | **17** τε ATERM > BD | τὰ ATERM > BD | **18** τὰ BD > ATERM
**19** θεόπαισ AT¹BD θεοῦ παῖσ T^cERM

878 τήσω, καὶ ἔσομαι αὐτῶν θεὸς καὶ αὐτοὶ ἔσονταί μοι λαός.
26 καὶ τοιαύτη μὲν ἡ τελεία καὶ κεκαθαρμένη ψυχή, ἀρχῆθεν οὕτω γε-
γενημένη, οἵα τὸν οὐράνιον λόγον ἀγαλματοφορεῖν· ἀλλὰ γὰρ φθόνῳ 57
879 καὶ ζήλῳ τοῦ φιλοπονήρου δαίμονος φιλοπαθὴς καὶ φιλοπόνηρος ἐξ
αὐτεξουσίου αἱρέσεως γενομένη, ὑπαναχωρήσαντος αὐτῆς τοῦ θείου
ὡς ἂν ἔρημος προστάτου, εὐάλωτος καὶ εἰς ἐπιβουλὴν εὐχερὴς τοῖς
ἐκ μακροῦ διαφθονουμένοις ἀπελήλεγκται, ταῖς τε τῶν ἀοράτων
ἐχθρῶν καὶ νοητῶν πολεμίων ἑλεπόλεσι καὶ μηχαναῖς καταβληθεῖσα,
πτῶμα ἐξαίσιον καταπέπτωκεν, ὡς ὅσον οὐδ' ἐπὶ λίθῳ λίθον τῆς
ἀρετῆς ἑστῶτα ἐν αὐτῇ διαμεῖναι, ὅλην δὲ δι' ὅλου χαμαὶ κεῖσθαι
νεκράν, τῶν περὶ θεοῦ φυσικῶν ἐννοιῶν πάμπαν ἀπεστερημένην.
πεπτωκυῖαν δῆτα αὐτὴν ἐκείνην τὴν κατ' εἰκόνα θεοῦ κατασκευ- 58
ασθεῖσαν ἐλυμήνατο οὐχ ὗς οὗτος ὁ ἐκ δρυμοῦ τοῦ παρ' ἡμῖν ὁρα-
τοῦ, ἀλλά τις φθοροποιὸς δαίμων καὶ θῆρες ἄγριοι νοητοί, οἳ καὶ
τοῖς πάθεσιν οἷα πεπυρακτωμένοις τῆς σφῶν κακίας βέλεσιν αὐτὴν
ἐξυφάψαντες, ἐνεπύρισαν ἐν πυρὶ τὸ θεῖον ὄντως ἁγιαστήριον
τοῦ θεοῦ εἰς τὴν γῆν τε ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνό-
ματος αὐτοῦ, εἶτα πολλῷ τῷ προσχώματι τὴν ἀθλίαν κατορύξαντες,
εἰς ἀνέλπιστον πάσης περιέτρεψαν σωτηρίας· ἀλλ' ὅ γε κηδεμὼν 59
αὐτῆς λόγος ὁ θεοφεγγὴς καὶ σωτήριος τὴν κατ' ἀξίαν δίκην τῶν
ἁμαρτημάτων ὑποσχοῦσαν αὖθις ἐξ ὑπαρχῆς ἀνελάμβανεν, πατρὸς
παναγάθου φιλανθρωπίᾳ πειθόμενος. αὐτὰς δὴ οὖν πρώτας τὰς 60
τῶν ἀνωτάτω βασιλευόντων ψυχὰς προελόμενος, τῶν μὲν δυσσεβῶν
καὶ ὀλεθρίων πάντων αὐτῶν τε τῶν δεινῶν καὶ θεομισῶν τυράννων
τὴν οἰκουμένην ἅπασαν δι' αὐτῶν τῶν θεοφιλεστάτων ἐκαθήρατο·
εἶτα δὲ τοὺς αὐτῷ γνωρίμους ἄνδρας, τοὺς πάλαι διὰ βίου ἱερω-
μένους αὐτῷ, κρύβδην γε μὴν ὡς ἐν κακῶν χειμῶνι πρὸς τῆς αὐτοῦ
σκέπης καλυπτομένους, εἰς φανερὸν ἀγαγὼν καὶ ταῖς τοῦ πατρὸς
μεγαλοδωρεαῖς ἐπαξίως τιμήσας, αὖθις καὶ διὰ τούτων τὰς μικρῷ
πρόσθεν ἐρρυπωμένας ψυχὰς ὕλης τε παντοίας καὶ χώματος ἀσεβῶν
880 ἐπιταγμάτων συμπεφορημένας ὄρυξι καὶ δικέλλαις ταῖς πληκτικαῖς
τῶν μαθημάτων διδασκαλίαις ἐξεκάθηρέν τε καὶ ἀπέσμηξεν, λαμπρόν 61
τε καὶ διαυγῆ τῆς πάντων ὑμῶν διανοίας τὸν χῶρον ἀπειργασμένος,

6/7 vgl. Matth. 24, 2. Marc. 13, 2. Luc. 21, 6 — **10** Ps. 79, 14 — **12** vgl. Eph. 6, 16 — **13—15** Ps. 73, 7

ATERBDMΣ

**4** ἀπελήλεγκται AER ἀπελήλεκται T[1]M corr. Tr, Tc getilgt ἀπολέλειπται BD | **6** ὡσ TERBDM εἰσ A | **9** δῆτα αὐτὴν BD δὴ ταύτην ATERM

**3** ὑμῶν AT[1]BDMΣ ἡμῶν TcER

880 ἐνταῦθα λοιπὸν τῷ πανσόφῳ καὶ θεοφιλεῖ τῷδε παραδέδωκεν ἡγε-
μόνι· ὃς τά τε ἄλλα κριτικὸς καὶ ἐπιλογιστικὸς τυγχάνων τήν ⟨τε⟩
τῶν αὐτῷ κεκληρωμένων ψυχῶν εὖ διαγινώσκων καὶ φυλοκρινῶν
διάνοιαν, ἐκ πρώτης ὡς εἰπεῖν ἡμέρας οἰκοδομῶν οὔπω καὶ εἰς δεῦρο
πέπαυται, τοτὲ μὲν διαυγῆ τὸν χρυσόν, τοτὲ δὲ δόκιμον καὶ καθαρὸν
τὸ ἀργύριον καὶ τοὺς τιμίους καὶ πολυτελεῖς λίθους ἐν πᾶσιν ὑμῖν
ἁρμόττων, ὡς ἱερὰν αὖθις καὶ μυστικὴν ἔργοις τοῖς εἰς ὑμᾶς ἀπο-
πληροῦν προφητείαν, δι' ἧς εἴρηται ἰδοὺ ἐγὼ ἑτοιμάζω σοι ἄν- 62
θρακα τὸν λίθον σου καὶ τὰ θεμέλιά σου σάπφειρον καὶ
τὰς ἐπάλξεις σου ἴασπιν καὶ τὰς πύλας σου λίθους κρυ-
στάλλου καὶ τὸν περίβολόν σου λίθους ἐκλεκτοὺς καὶ πάν-
τας τοὺς υἱούς σου διδακτοὺς θεοῦ καὶ ἐν πολλῇ εἰρήνῃ τὰ
τέκνα σου· καὶ ἐν δικαιοσύνῃ οἰκοδομηθήσῃ.

δικαιοσύνῃ δῆτα οἰκοδομῶν, κατ' ἀξίαν τοῦ παντὸς λαοῦ διῄρει 63
τὰς δυνάμεις, οἷς μὲν τὸν ἔξωθεν αὐτὸ μόνον περιφράττων περί-
βολον, τὴν ἀπλανῆ πίστιν περιτειχίσας (πολὺς δὲ ὁ τοιοῦτος καὶ
μέγας λεώς, οὐδὲν κρεῖττον φέρειν οἰκοδόμημα διαρκῶν), οἷς δὲ τὰς
ἐπὶ τὸν οἶκον ἐπιτρέπων εἰσόδους, θυραυλεῖν καὶ ποδηγεῖν τοὺς
εἰσιόντας κατατάττων, οὐκ ἀπεικότως τοῦ νεὼ πρόπυλα νενομισμέ-
νους, ἄλλους δὲ πρώτοις τοῖς ἔξωθεν ἀμφὶ τὴν αὐλὴν ἐκ τετρα-
γώνου κίοσιν ὑπεστήριζεν, ταῖς πρώταις τῶν τεττάρων εὐαγγελίων
τοῦ γράμματος προσβολαῖς ἐμβιβάζων· τοὺς δ' ἤδη ἀμφὶ τὸν βασί-
881 λειον οἶκον ἑκατέρωσε παραζεύγνυσιν, ἔτι μὲν κατηχουμένους καὶ ἐν
αὔξῃ καὶ προκοπῇ καθεστῶτας, οὐ μὴν πόρρω που καὶ μακρὰν τῆς
τῶν ἐνδοτάτω θεοπτίας τῶν πιστῶν διεζευγμένους. ἐκ δὴ τού- 64
των τὰς ἀκηράτους ψυχὰς θείῳ λουτρῷ χρυσοῦ δίκην ἀποσμηχθείσας
παραλαβών, κἀνταῦθα τοὺς μὲν κίοσιν τῶν ἐξωτάτω πολὺ κρείτ-
τοσιν ἐκ τῶν ἐνδοτάτω μυστικῶν τῆς γραφῆς δογμάτων ὑποστηρίζει,
τοῖς δὲ πρὸς τὸ φῶς ἀνοίγμασιν καταυγάζει, προπύλῳ μὲν ἑνὶ με- 65
γίστῳ τῆς τοῦ παμβασιλέως ἑνὸς καὶ μόνου θεοῦ δοξολογίας τὸν
πάντα νεὼν κατακοσμῶν, Χριστοῦ δὲ καὶ ἁγίου πνεύματος παρ'
ἑκάτερα τῆς τοῦ πατρὸς αὐθεντίας τὰς δευτέρας αὐγὰς τοῦ φωτὸς
παρασχόμενος· τῶν τε λοιπῶν διὰ τοῦ παντὸς οἴκου ἄφθονον καὶ

**880, 11—16** Ies. 54, 11—14

ATERBDMΣ

**5** τε Schw > *Π aber* Σ | **10** ὑμᾶσ AT[1]RBDMΣ ἡμᾶσ T[c]E | **17**— S. 882, 9 δικαιοσύνηι δῆτα — παραιτούμενος > Σ | **23** πρώτοισ ARBD πρώτουσ TEM | **25** προσβολαῖσ BD ἐνβολαῖσ M προβολαῖσ ATER

**5** ἐξωτάτω ATER ἐξωτάτων BDM | **6** ἐνδοτάτω AR ἐνδοτάτων TEBDM | **9** σκόπει πῶς ἀρειανίζει E[m]

881 πολὺ διάφορον τῆς καθ᾽ ἕκαστον ἀληθείας τὸ σαφὲς καὶ φωτεινὸν
ἐνδεικνύμενος, πάντῃ δὲ καὶ πανταχόθεν τοὺς ζῶντας καὶ βεβηκότας
καὶ εὐπαγεῖς τῶν ψυχῶν λίθους ἐγκρίνας, τὸν μέγαν καὶ βασιλικὸν
ἐξ ἁπάντων οἶκον ἐπισκευάζεται λαμπρὸν καὶ φωτὸς ἔμπλεω τά τε
ἔνδοθεν καὶ τὰ ἐκτός, ὅτι μὴ ψυχὴ μόνον καὶ διάνοια, καὶ τὸ
σῶμα δὲ αὐτοῖς ἁγνείας καὶ σωφροσύνης πολυανθεῖ κόσμῳ κατη-
γλάϊστο. ἔνεισιν δ᾽ ἐν τῷδε τῷ ἱερῷ καὶ θρόνοι βάθρα τε μυρία 66
καὶ καθιστήρια, ἐν ὅσαις ψυχαῖς τὰ τοῦ θείου πνεύματος ἐφιζάνει
δωρήματα, οἷα καὶ πάλαι ὤφθη τοῖς ἀμφὶ τοὺς ἱεροὺς ἀποστόλους,
οἷς ἐφάνησαν διαμεριζόμεναι γλῶσσαι ὡς εἰ πυρὸς ἐκάθισέν
τε ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν. ἀλλ᾽ ἐν μὲν τῷ πάντων ἄρχοντι 67
ἴσως αὐτὸς ὅλος ἐγκάθηται Χριστός, ἐν δὲ τοῖς μετ᾽ αὐτὸν δευτε-
ρεύουσιν ἀναλόγως, καθ᾽ ὅσον ἕκαστος χωρεῖ, Χριστοῦ δυνάμεως καὶ
πνεύματος ἁγίου μερισμοῖς. βάθρα δ᾽ ἂν εἶεν καὶ ἀγγέλων αἱ
τινῶν ψυχαὶ τῶν εἰς παιδαγωγίαν καὶ φρουρὰν ἑκάστῳ παραδεδο-
882 μένων, σεμνὸν δὲ καὶ μέγα καὶ μονογενὲς θυσιαστήριον ποῖον ἂν 68
εἴη ἢ τῆς τοῦ κοινοῦ πάντων ἱερέως [τῆς ψυχῆς] τὸ εἰλικρινὲς καὶ
ἁγίων ἅγιον; ᾧ παρεστὼς ἐπὶ δεξιᾷ ὁ μέγας τῶν ὅλων ἀρχιερεὺς
αὐτὸς Ἰησοῦς, ὁ μονογενὴς τοῦ θεοῦ, τὸ παρὰ πάντων εὐῶδες θυ-
μίαμα καὶ τὰς δι᾽ εὐχῶν ἀναίμους καὶ ἀΰλους θυσίας φαιδρῷ τῷ
βλέμματι καὶ ὑπτίαις ὑποδεχόμενος χερσὶν τῷ κατ᾽ οὐρανὸν πατρὶ
καὶ θεῷ τῶν ὅλων παραπέμπεται, πρῶτος αὐτὸς προσκυνῶν καὶ
μόνος τῷ πατρὶ τὸ κατ᾽ ἀξίαν ἀπονέμων σέβας, εἶτα δὲ καὶ πᾶσιν
ἡμῖν εὐμενῆ διαμένειν καὶ δεξιὸν εἰς ἀεὶ παραιτούμενος.
τοιοῦτος ὁ μέγας νεὼς ὃν καθ᾽ ὅλης τῆς ὑφ᾽ ἥλιον οἰκουμένης 69
ὁ μέγας τῶν ὅλων δημιουργὸς λόγος συνεστήσατο, τῶν ἐπέκεινα
οὐρανίων ἁψίδων πάλιν καὶ αὐτὸς νοερὰν ταύτην ἐπὶ γῆς εἰκόνα
κατεργασάμενος, ὡς ἂν διὰ πάσης τῆς κτίσεως τῶν τε ἐπὶ γῆς
λογικῶν ζῴων ὁ πατὴρ αὐτῷ τιμῷτό τε καὶ σέβοιτο. τὸν δὲ 70

**21/22** Act. 2, 3

ATERBDM, Σ [vgl. zu 880, 17]

**12** *διάφορον* AT$^1$EM *καὶ ἀδιάφορον* BD *διαφόρων* T$^r$R | **15** *τε* ATER *δὲ* BDM | **16** *ψυχῇ — διανοίᾳ* Π, corr. Valois | **23** *ὅλοσ* A$^1$ corr., TERDM *ὁ λόγοσ* A$^1$B | **25** *μερισμοῖσ* T$^1$EBDM *μερισμοὺσ* AT$^r$R | **25/26** *ἀγγέλων αἱ τινῶν* BD *ἁγίων ἀγγέλων καὶ αἱ τινῶν* ATER

**1** *ἂν* AT$^r$R *ἄρ᾽* T$^1$ *ἆρ᾽* EBD *ἄρα* M | **2** *τῆς*$^2$ getilgt T > R, *τῆς ψυχῆς* > Schw | **7** *σ*$^7$ *πανταχοῦ θεομαχοῦντα* T$^m$ | **13/14** *πάσησ τῆσ κτίσεωσ τῶν τε ἐπὶ γῆσ λογικῶν ζώων* ATERMΣ *πάντων λογικῶν ζώων τῶν ἀνὰ πᾶσαν τὴν κτίσιν* [*κτῆσιν* D] BD | **14** *δὲ* BD *δ᾽* M *aber* Σ *τε* ATER

882 ὑπερουράνιον χῶρον καὶ τὰ ἐκεῖσε τῶν τῇδε παραδείγματα τήν τε
ἄνω λεγομένην Ἱερουσαλὴμ καὶ τὸ Σιὼν ὄρος τὸ ἐπουράνιον καὶ
τὴν ὑπερκόσμιον πόλιν τοῦ ζῶντος θεοῦ, ἐν ᾗ μυριάδες ἀγγέλων
πανηγύρεις καὶ ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς
ταῖς ἀρρήτοις καὶ ἀνεπιλογίστοις ἡμῖν θεολογίαις τὸν σφῶν ποιητὴν
καὶ πανηγεμόνα τῶν ὅλων γεραίρουσιν, οὔτις θνητὸς οἷός τε κατ᾽
ἀξίαν ὑμνῆσαι, ὅτι δὴ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν
καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη αὐτὰ δὴ ταῦτα ἃ ἡτοί-
μασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· ὧν ἤδη ἐν μέρει καταξιω- 71
θέντες, ἄνδρες ἅμα παισὶν καὶ γυναιξίν, σμικροὶ καὶ μεγάλοι, πάντες
ἀθρόως ἐν ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ μὴ διαλίπωμεν ἐξομολογού-
μενοι καὶ τὸν τοσούτων ἡμῖν ἀγαθῶν παραίτιον ἀνευφημοῦντες,
883 τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις ἡμῶν, τὸν ἰώμενον
πάσας τὰς νόσους ἡμῶν, τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν
ζωὴν ἡμῶν, τὸν στεφανοῦντα ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς,
τὸν ἐμπιμπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν ἡμῶν, ὅτι οὐ
κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν οὐδὲ κατὰ τὰς
ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν, ὅτι καθ᾽ ὅσον ἀπέχουσιν
ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας
ἡμῶν· καθὼς οἰκτείρει πατὴρ υἱοὺς αὐτοῦ, ᾤκτείρησεν
κύριος τοὺς φοβουμένους αὐτόν. ταῦτα καὶ νῦν καὶ εἰς τὸν 72
ἑξῆς ἅπαντα χρόνον ταῖς μνήμαις ἀναζωπυροῦντες, ἀτὰρ καὶ τῆς
παρούσης πανηγύρεως καὶ τῆς φαιδρᾶς ταύτης καὶ λαμπροτάτης
ἡμέρας τὸν αἴτιον καὶ πανηγυριάρχην νύκτωρ καὶ μεθ᾽ ἡμέραν διὰ
πάσης ὥρας καὶ δι᾽ ὅλης ὡς εἰπεῖν ἀναπνοῆς ἐν νῷ προορώμενοι,
στέργοντες καὶ σέβοντες ψυχῆς ὅλῃ δυνάμει, καὶ νῦν ἀναστάντες
μεγάλῃ διαθέσεως φωνῇ καθικετεύσωμεν, ὡς ἂν ὑπὸ τὴν αὐτοῦ
μάνδραν ἐς τέλος ἡμᾶς σκεπάζων διασῴζοιτο, τὴν παρ᾽ αὐτοῦ βρα-
βεύων ἀρραγῆ καὶ ἄσειστον αἰωνίαν εἰρήνην ἐν Χριστῷ Ἰησοῦ τῷ

**15—18** Hebr. 12, 22. 23 — **21—23** I Kor. 2, 9

**1—9** Psalm. 102, 3—5. 10. 12. 13 — **15/16** vgl. Ioann. 10, 16

ATERBDMΣ

**20** *οὔτισ* $T^c$ERBDΣ *οὐ τίσ* A *οὗτοσ* M *ὃν οὔτισ* $T^r$, $T^1$ unleserlich | **25** *διαλείπωμεν* $T^c$ERM *διαλείπομεν* D *διαλίπωμεν* A$T^1T^r$B | **26** *τοσούτων* B *τωσούτων* M *τοσοῦτον* D *τῶν τοσούτων* ATER

**9/10** *τὸν—ἅπαντα χρόνον* BDM *τοὺσ—ἅπαντασ χρόνουσ* ATER | **14** *ὅλῃ* BDΣ *ὅλησ* ATERM

883 *σωτῆρι ἡμῶν, δι' οὗ αὐτῷ ἡ δόξα εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. ἀμήν.*

*Φέρε δή, λοιπὸν καὶ τῶν βασιλικῶν διατάξεων Κωνσταντίνου καὶ Λικιννίου τὰς ἐκ τῆς Ῥωμαίων φωνῆς μεταληφθείσας ἑρμηνείας παραθώμεθα.* 5 1

### *ΑΝΤΙΓΡΑΦΟΝ ΒΑΣΙΛΙΚΩΝ ΔΙΑΤΑΞΕΩΝ ΕΚ ΡΩΜΑΙΚΗΣ ΓΛΩΤΤΗΣ ΜΕΤΑΛΗΦΘΕΙΣΩΝ*

*»Ἤδη μὲν πάλαι σκοποῦντες τὴν ἐλευθερίαν τῆς θρῃσκείας οὐκ ἀρνητέαν* 2 313
*εἶναι, ἀλλ' ἑνὸς ἑκάστου τῇ διανοίᾳ καὶ τῇ βουλήσει ἐξουσίαν δοτέον τοῦ τὰ θεῖα πράγματα τημελεῖν κατὰ τὴν αὐτοῦ προαίρεσιν ἕκαστον, κεκελεύκειμεν τοῖς τε*
884 *Χριστιανοῖς τῆς αἱρέσεως καὶ τῆς θρῃσκείας τῆς ἑαυτῶν τὴν πίστιν φυλάττειν·*
*ἀλλ' ἐπειδὴ πολλαὶ καὶ διάφοροι αἱρέσεις ἐν ἐκείνῃ τῇ ἀντιγραφῇ, ἐν ᾗ τοῖς αὐτοῖς* 3
*συνεχωρήθη ἡ τοιαύτη ἐξουσία, ἐδόκουν προστεθεῖσθαι σαφῶς, τυχὸν ἴσως τινὲς αὐτῶν μετ' ὀλίγον ἀπὸ τῆς τοιαύτης παραφυλάξεως ἀπεκρούοντο. ὁπότε εὐτυχῶς ἐγὼ Κωνσταντῖνος ὁ Αὔγουστος κἀγὼ Λικίννιος ὁ Αὔγουστος ἐν τῇ Μεδιολάνῳ ἐληλύθειμεν καὶ πάντα ὅσα πρὸς τὸ λυσιτελὲς καὶ τὸ χρήσιμον τῷ κοινῷ διέφερεν, ἐν ζητήσει ἔσχομεν, ταῦτα μεταξὺ τῶν λοιπῶν ἅτινα ἐδόκει ἐν πολλοῖς ἅπασιν ἐπωφελῆ εἶναι, μᾶλλον δὲ ἐν πρώτοις διατάξαι ἐδογματίσαμεν, οἷς ἡ πρὸς τὸ θεῖον αἰδώς τε καὶ τὸ σέβας ἐνείχετο, τοῦτ' ἔστιν, ὅπως δῶμεν καὶ τοῖς Χριστιανοῖς καὶ πᾶσιν ἐλευθέραν αἵρεσιν τοῦ ἀκολουθεῖν τῇ θρῃσκείᾳ ᾗ δ' ἂν βουληθῶσιν, ὅπως ὅ τί ποτέ ἐστιν θειότητος καὶ οὐρανίου πράγματος, ἡμῖν καὶ πᾶσι τοῖς ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν διάγουσιν εὐμενὲς εἶναι δυνηθῇ. τοίνυν ταύτην τὴν [ἡμε-* 4
*τέραν] βούλησιν ὑγιεινῷ καὶ ὀρθοτάτῳ λογισμῷ ἐδογματίσαμεν, ὅπως μηδενὶ παν-*

4 (von *ὁπότε* an) — S. 887, 4 der lateinische Text bei Lactant. de mortt. persecut. 48

ATERBDMΣ

**18** *σρι* ATERBD *κω* MΣ | *δι' οὗ αὐτῷ* ATERΣ *ᾧ* BD *μεθ' οὗ σοι* M | *σύμπαντασ* > BD | **18/19** *τῶν αἰώνων* > BDΣ

**20** — S. 891, 20 [ATERM, fehlt in BDΣΛ] aus der früheren Ausgabe eingesetzt, *τὰ ἐφ' ἑξῆσ ταῦτα βασιλικὰ ἓξ διατάγματα ἐν ἄλλοις ἀντιγράφοις οὐ κεῖνται* $T^m$

**20/21** *φέρε — παραθώμεθα* > M | **24** *πάλαι* A$T^1$ *πολλὰ* $T^r$ERM, $T^{cm}$ getilgt | **26** nach *κεκελεύκειμεν* ist etwas gestrichen

**2** *πολλαὶ* A$T^c$ERM *καὶ πάλαι* $T^1$ | **4** *ἀπεκρούοντο* $T^c$ERM *ἀνεκρούοντο* A$T^1$ | **6** man verlangt *συνεληλύθειμεν, conuenissemus* Lact | **7** *ἐν πολλοῖς ἅπασιν*] statt *pluribus hominibus* las der Übersetzer *pluribus omnibus* | **11** *θειότητοσ* TER *θειότιτοσ* M *θειότησ* A *quod quidem diuinitas in sede caelesti* Lact HS | **12/13** *hoc consilium* Lact *τὴν ἡμετέραν βούλησιν* TERM *τὴν βούλησιν τὴν ἡμετέραν* A

884 τελῶς ἐξουσία ἀρνητέα ᾖ τοῦ ἀκολουθεῖν καὶ αἱρεῖσθαι τὴν τῶν Χριστιανῶν
παραφύλαξιν ἢ θρῃσκείαν ἑκάστῳ τε ἐξουσία δοθείη τοῦ διδόναι ἑαυτοῦ τὴν διά-
νοιαν ἐν ἐκείνῃ τῇ θρῃσκείᾳ, ἣν αὐτὸς ἑαυτῷ ἁρμόζειν νομίζει, ὅπως ἡμῖν δυνηθῇ
τὸ θεῖον ἐν πᾶσι τὴν ἔθιμον σπουδὴν καὶ καλοκἀγαθίαν παρέχειν· ἅτινα οὕτως 6
ἀρέσκειν ἡμῖν ἀντιγράψαι ἀκόλουθον ἦν, ἵν' ἀφαιρεθεισῶν παντελῶς τῶν αἱρέσεων,
885 αἵτινες τοῖς προτέροις ἡμῶν γράμμασι τοῖς πρὸς τὴν σὴν καθοσίωσιν ἀποσταλεῖσι
περὶ τῶν Χριστιανῶν ἐνείχοντο καὶ ἅτινα πάνυ σκαιὰ καὶ τῆς ἡμετέρας πραότητος
ἀλλότρια εἶναι ἐδόκει, ταῦτα ὑφαιρεθῇ καὶ νῦν ἐλευθέρως καὶ ἁπλῶς ἕκαστος
αὐτῶν τῶν τὴν αὐτὴν προαίρεσιν ἐσχηκότων τοῦ φυλάττειν τὴν τῶν Χριστιανῶν
θρῃσκείαν ἄνευ τινὸς ὀχλήσεως τοῦτο αὐτὸ παραφυλάττοι. ἅτινα τῇ σῇ ἐπιμελείᾳ 7
πληρέστατα δηλῶσαι ἐδογματίσαμεν, ὅπως εἰδείης ἡμᾶς ἐλευθέραν καὶ ἀπολελυ-
μένην ἐξουσίαν τοῦ τημελεῖν τὴν ἑαυτῶν θρῃσκείαν τοῖς αὐτοῖς Χριστιανοῖς δε-
δωκέναι. ὅπερ ἐπειδὴ ἀπολελυμένως αὐτοῖς ὑφ' ἡμῶν δεδωρῆσθαι θεωρεῖ ἡ σὴ 8
καθοσίωσις καὶ ἑτέροις δεδόσθαι ἐξουσίαν τοῖς βουλομένοις τοῦ μετέρχεσθαι τὴν
παρατήρησιν καὶ θρῃσκείαν ἑαυτῶν, ὅπερ ἀκολούθως τῇ ἡσυχίᾳ τῶν ἡμετέρων
καιρῶν γίνεσθαι φανερόν ἐστιν, ὅπως ἐξουσίαν ἕκαστος ἔχῃ τοῦ αἱρεῖσθαι καὶ τη-
μελεῖν ὁποίαν δὰν βούληται [τὸ θεῖον]. τοῦτο δὲ ὑφ' ἡμῶν γέγονεν, ὅπως μη-

ATERM

**14—16** *τοῦ ἀκολουθεῖν — θρῃισκείαι* durch Dittographien und Correcturen entstellt, besonders *αἱρεῖσθαι* ist verdächtig, ferner *ἑκάστωι τε ἐξουσία δοθείη, ἢ θρῃισκείαν* ∾ *ἐν ἐκείνηι τῆι θρῃσκείαι*: vgl. Lact. *qui* [*quin* Schw] *uel obseruationi Christianorum uel ei religioni mentem suam dederat* [*dederet* Baluze] *quam ipsi sibi aptissimam esse sentiret* | **17** nach *τὸ θεῖον* + *cuius religioni liberis mentibus obsequimur* Lact | **17/18** *ἅτινα . . . ἀντιγράψαι*] *quare scire dicationem tuam* Lact

**2/3** *καὶ ἅτινα — εἶναι* und *ταῦτα ὑφαιρεθῆι καὶ* interpolirt, der ursprüngliche Text lautete einfach *ἐνέχεσθαι ἐδόκουν* vgl. 884, 3 und *amotis . . . condicionibus quae prius scriptis ad officium tuum datis super Christianorum nomine* ⟨*contineri*⟩ *uidebantur, nunc libere ac simpliciter* etc. Lact | **3** *ἁπλῶσ* RM *γρ ἁπλῶσ* $T^{cm}E^{1m}$ *simpliciter* Lact *ἀπλανῶσ* $AT^1E^1$ | **4** *αὐτῶν τῶν* TER *eorum qui* Lact *αὐτῶν* M *τῶν* A | **5—8** *ἅτινα — δεδωκέναι* Doublette zu S. 884, 17—5 *ἅτινα — παραφυλάττοι*, auch bei Lactanz vorhanden | **8/9** verwirrt; entweder ist 8 *θεωρεῖς*, ⟨*συνορᾶι*⟩ zu schreiben oder 10/11 *ὅπερ* und *γίνεσθαι* zu streichen; vgl. *quod cum isdem a nobis indultum esse peruideas, intellegit dicatio tua etiam aliis religionis suae uel obseruantiae potestatem similiter apertam et liberam pro quiete temporis nostri esse concessa*⟨*m*⟩ Lact. Im echten Text muss umgekehrt aus der allgemeinen Toleranz die den Christen zu kommende gefolgert sein | **12** *ὁποίαν* Schw *ὁποῖα* $T^1ER$ *ὁποία* $T^r$ *ὅποι* M *ὁποῖον* A vgl. *ut in colenda quod quisque diligeret, habeat liberam facultatem* Lact HS *quod* und *diligeret* verdorben | *τὸ θεῖον* ERM *θεῖον* $AT^1$ *θρῃσκεία τιμᾶν τὸ θεῖον* $T^r$, falscher Zusatz

885 *δεμιᾷ τιμῇ μηδὲ θρησκείᾳ τινὶ μεμειῶσθαί τι ὑφ' ἡμῶν δοκοίη. καὶ τοῦτο δὲ* 9
*πρὸς τοῖς λοιποῖς εἰς τὸ πρόσωπον τῶν Χριστιανῶν δογματίζομεν, ἵνα τοὺς τό-*
*πους αὐτῶν, εἰς οὓς τὸ πρότερον συνέρχεσθαι ἔθος ἦν αὐτοῖς, περὶ ὧν καὶ τοῖς*
*πρότερον δοθεῖσιν πρὸς τὴν σὴν καθοσίωσιν γράμμασιν τύπος ἕτερος ἦν ὡρισμένος*
*τῷ προτέρῳ χρόνῳ, [ἵν'] εἴ τινες ἢ παρὰ τοῦ ταμείου τοῦ ἡμετέρου ἢ παρά τινος*
*ἑτέρου φαίνοιντο ἠγορακότες, τούτους τοῖς αὐτοῖς Χριστιανοῖς ἄνευ ἀργυρίου καὶ*
886 *ἄνευ τινὸς ἀπαιτήσεως τῆς τιμῆς, ὑπερτεθείσης [δίχα] πάσης ἀμελείας καὶ ἀμφι-*
*βολίας, ἀποκαταστήσωσι, καὶ εἴ τινες κατὰ δῶρον τυγχάνουσιν εἰληφότες, τοὺς*
*αὐτοὺς τόπους ὅπως ἢ τοῖς αὐτοῖς Χριστιανοῖς τὴν ταχίστην ἀποκαταστήσωσιν*
*οὕτως ὡς ἢ οἱ ἠγορακότες τοὺς αὐτοὺς τόπους ἢ οἱ κατὰ δωρεὰν εἰληφότες* 10
*αἰτῶσί τι παρὰ τῆς ἡμετέρας καλοκἀγαθίας προσέλθωσι τῷ ἐπὶ τόπων ἐπάρχῳ*
*δικάζοντι, ὅπως καὶ αὐτῶν διὰ τῆς ἡμετέρας χρηστότητος πρόνοια γένηται. ἅτινα*
*πάντα τῷ σώματι τῷ τῶν Χριστιανῶν παρ' αὐτὰ διὰ τῆς σῆς σπουδῆς ἄνευ τινὸς*
*παρολκῆς παραδίδοσθαι δεήσει· καὶ ἐπειδὴ οἱ αὐτοὶ Χριστιανοὶ οὐ μόνον ἐκείνους* 11
*εἰς οὓς συνέρχεσθαι ἔθος εἶχον, ἀλλὰ καὶ ἑτέρους τόπους ἐσχηκέναι γινώσκονται*
*διαφέροντας οὐ πρὸς ἕκαστον αὐτῶν, ἀλλὰ πρὸς τὸ δίκαιον τοῦ αὐτῶν σώματος,*
*τοῦτ' ἔστιν τῶν Χριστιανῶν, ταῦτα πάντα ἐπὶ τῷ νόμῳ ὃν προειρήκαμεν, δίχα*
*παντελῶς τινος ἀμφισβητήσεως τοῖς αὐτοῖς Χριστιανοῖς, τοῦτ' ἔστιν τῷ σώματι*
*[αὐτῶν] καὶ τῇ συνόδῳ [ἑκάστῳ] αὐτῶν ἀποκαταστῆναι κελεύσεις, τοῦ προειρη-*

ATERM

**16** *τύπος ἕτερος*] *certa . . forma* Lact | **17** *τῶι προτέρωι χρόνωι* falsch vom Übersetzer zum Relativsatz gezogen, vgl. *si eadem loca . . . de quibus . . certa antehac forma fuerat comprehensa, priore tempore aliqui . . . uidentur esse mercati* Lact | *ἵν'* streicht Schw nach Lact

**1** *δίχα* streicht Lowth *postposita omni frustratione* Lact | **2—6** *qui etiam dono fuerunt consecuti, eadem similiter isdem Christianis quantocius reddant, etiam uel hi qui emerunt uel qui dono fuerunt consecuti, si putauerint, de nostra beniuolentia aliquid uicarium postulent quo et ipsis per nostram clementiam consulatur* Lact die von Missverständnissen nicht freie Übersetzung lässt sich nicht mit Evidenz verbessern | **3** *ὅπωσ ἢ* Tc [T¹ unleserlich] E *ὅπωσ ἡ* M *ὅπωσ εἰ* A *ἢ ὅπωσ ἢ* TrR wohl falscher Zusatz | **4** *οὕτωσ ὡσ ἡ* M *οὕτωσ ὡσεὶ* TER *οὕτωσ ἢ* A, vielleicht soll *οὕτως ὡς ἢ* *ut iam* [*etiam* HS] *uel* wiedergeben, vgl. 14 ff. **5** *αἰτῶσί τι παρὰ τῆς ἡμετέρας καλοκαγαθίας* (= *de nostra beniuolentia aliquid postulent*) ~ *προσέλθωσι τῶι ἐπὶ τόπων ἐπάρχωι δικάζοντι* (*uicarium postulent* missverstanden) Doublette | **6—8** *ἅτινα — δεήσει* Doublette zu 16/17 *ἐν οἷς πᾶσιν — ὀφείλεις*; beide bei Lactanz vorhanden | **7** *σώματι τῶι* Dindorf [?] *σωματίῳ* ATER *σώματι* M | **11** *τῶν Χριστιανῶν*] *ecclesiarum* Lact | **12** *παντελῶς* Schwegler *παντελοῦς* *Π* *citra ullam prorsus ambiguitatem uel controuersiam* Lact | **13** *αὐτῶν* und *ἑκάστωι* streicht Schw *id est corpori et conuenticulis eorum* Lact | *ἀποκατασταθῆναι* Schw

886 μένου λογισμοῦ δηλαδὴ φυλαχθέντος, ὅπως αὐτοὶ οἵτινες τοὺς αὐτοὺς ἄνευ τιμῆς,
καθὼς προειρήκαμεν, ἀποκαθιστῶσι, τὸ ἀζήμιον τὸ ἑαυτῶν παρὰ τῆς ἡμετέρας
καλοκἀγαθίας ἐλπίζοιεν. ἐν οἷς πᾶσιν τῷ προειρημένῳ σώματι τῶν Χριστιανῶν 12
τὴν σπουδὴν δυνατώτατα παρασχεῖν ὀφείλεις, ὅπως τὸ ἡμέτερον κέλευσμα τὴν
ταχίστην παραπληρωθῇ, ὅπως καὶ ἐν τούτῳ διὰ τῆς ἡμετέρας χρηστότητος πρό-
νοια γένηται τῆς κοινῆς καὶ δημοσίας ἡσυχίας. τούτῳ γὰρ τῷ λογισμῷ, καθὼς 13
καὶ προείρηται, ἡ θεία σπουδὴ περὶ ἡμᾶς, ἧς ἐν πολλοῖς ἤδη πράγμασιν ἀπεπει-
ράθημεν, διὰ παντὸς τοῦ χρόνου βεβαίως διαμεῖναι. ἵνα δὲ ταύτης τῆς ἡμετέρας 14
887 νομοθεσίας καὶ τῆς καλοκἀγαθίας ὁ ὅρος πρὸς γνῶσιν πάντων ἐνεχθῆναι δυνηθῇ,
προταχθέντα τοῦ σοῦ προστάγματος ταῦτα τὰ ὑφ' ἡμῶν γραφέντα πανταχοῦ
προθεῖναι καὶ εἰς γνῶσιν πάντων ἀγαγεῖν ἀκόλουθόν ἐστιν, ὅπως ταύτης τῆς
ἡμετέρας καλοκἀγαθίας ἡ νομοθεσία μηδένα λαθεῖν δυνηθῇ«.

*ΑΝΤΙΓΡΑΦΟΝ ΕΤΕΡΑΣ ΒΑΣΙΛΙΚΗΣ ΔΙΑΤΑΞΕΩΣ ΗΝ ΑΥΘΙΣ ΠΕΠΟΙ-* 15
*ΗΤΑΙ, ΜΟΝΗΙ ΤΗΙ ΚΑΘΟΛΙΚΗΙ ΕΚΚΛΗΣΙΑΙ ΤΗΝ ΔΩΡΕΑΝ ΔΕΔΟΣΘΑΙ*
*ΥΠΟΣΗΜΗΝΑΜΕΝΟΣ*

»Χαῖρε Ἀνυλῖνε, τιμιώτατε ἡμῖν. ἔστιν ὁ τρόπος οὗτος τῆς φιλαγαθίας τῆς
ἡμετέρας, ὥστε ἐκεῖνα ἅπερ δικαίῳ ἀλλοτρίῳ προσήκει, μὴ μόνον μὴ ἐνοχλεῖσθαι,
ἀλλὰ καὶ ἀποκαθιστᾶν βούλεσθαι ἡμᾶς, Ἀνυλῖνε τιμιώτατε. ὅθεν βουλόμεθα ἵν', 16
ὁπόταν ταῦτα τὰ γράμματα κομίσῃ, εἴ τινα ἐκ τούτων τῶν τῇ ἐκκλησίᾳ τῇ κα-
θολικῇ τῶν Χριστιανῶν ἐν ἑκάσταις πόλεσιν ἢ καὶ ἄλλοις τόποις διέφερον [καὶ]
κατέχοιντο νῦν ἢ ὑπὸ πολιτῶν ἢ ὑπό τινων ἄλλων, ταῦτα ἀποκατασταθῆναι πα-
ραχρῆμα ταῖς αὐταῖς ἐκκλησίαις ποιήσῃς, ἐπειδήπερ προῃρήμεθα ταῦτα ἅπερ αἱ
αὐταὶ ἐκκλησίαι πρότερον ἐσχήκεσαν, τῷ δικαίῳ αὐτῶν ἀποκατασταθῆναι. ὁπότε 17
τοίνυν συνορᾷ ἡ καθοσίωσις ἡ σὴ ταύτης ἡμῶν τῆς κελεύσεως σαφέστατον εἶναι
τὸ πρόσταγμα, σπούδασον, εἴτε κῆποι εἴτε οἰκίαι εἴθ' ὁτιουνδήποτε τῷ δικαίῳ
τῶν αὐτῶν ἐκκλησιῶν διέφερον, σύμπαντα αὐταῖς ἀποκατασταθῆναι ὡς τάχιστα,
ὅπως τούτῳ ἡμῶν τῷ προστάγματι ἐπιμελεστάτην σε πειθάρχησιν παρεσχηκέναι
καταμάθοιμεν. ἔρρωσο, Ἀνυλῖνε, τιμιώτατε καὶ ποθεινότατε ἡμῖν«.

ATERM

**21** *διαμεῖναι* ATE *διαμένει* M *διαμείνη* TrR | *ταύτης* — S. 887, 1 *ὅρος* falsche Übersetzung von *huius sanctionis beniuolentiae nostrae forma* vgl. 887, 3/4

**2** *προταχθέντα τοῦ σοῦ προστάγματοσ* M *προσταχθέντα τοῦ σοῦ προστάγματοσ* TE *προαχθέντοσ τοῦ σοῦ προστάγματοσ* TrR > A *praelata programmate tuo* Lact HS | *τὰ* $AT^{r}$ > $T^{1}ERM$ | **5** *ἑτέρας* AM *ἕτερον* TER | **5/6** *πεποίηται* ATEM *πεποίηνται* R | **7** *ὑποσημηνάμενοσ* M *ὑποσημηνάμενοι* ATER | **12** *διέφερον* Schw *διαφερόντων* Schwegler *διέφερον καὶ Π* in der Übersetzung sind Participial- und Relativconstruction mit einander vertauscht | **14** *αὐταῖσ* TERM *αὐτῶν* A

887 *ΑΝΤΙΓΡΑΦΟΝ ΒΑΣΙΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ ΔΙ' ΗΣ ΣΥΝΟΔΟΝ ΕΠΙΣΚΟΠΩΝ* 18
*ΕΠΙ ΡΩΜΗΣ ΚΕΛΕΥΕΙ ΓΕΝΕΣΘΑΙ ΥΠΕΡ ΤΗΣ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ ΕΝΩΣΕΩΣ ΤΕ ΚΑΙ ΟΜΟΝΟΙΑΣ*

»Κωνσταντῖνος Σεβαστὸς Μιλτιάδῃ ἐπισκόπῳ Ῥωμαίων καὶ Μάρκῳ. ἐπειδὴ 313
τοιοῦτοι χάρται παρὰ Ἀνυλίνου τοῦ λαμπροτάτου ἀνθυπάτου τῆς Ἀφρικῆς πρός
888 με πλείους ἀπεστάλησαν, ἐν οἷς ἐμφέρεται Καικιλιανὸν τὸν ἐπίσκοπον τῆς Χαρ-
ταγενησίων πόλεως παρά τινων κολλήγων αὐτοῦ τῶν κατὰ τὴν Ἀφρικὴν καθε-
στώτων ἐν πολλοῖς πράγμασιν εὐθύνεσθαι, καὶ τοῦτό μοι βαρὺ σφόδρα δοκεῖ τὸ
ἐν ταύταις ταῖς ἐπαρχίαις, ἃς τῇ ἐμῇ καθοσιώσει αὐθαιρέτως ἡ θεία πρόνοια ἐν-
εχείρισεν κἀκεῖσε πολὺ πλῆθος λαοῦ, ὄχλον ἐπὶ τὸ φαυλότερον ἐπιμένοντα εὑ-
ρίσκεσθαι ὡς ἂν εἰ διχοστατοῦντα καὶ μεταξὺ ἐπισκόπους διαφορὰς ἔχειν, ἔδοξέ 19
μοι ἵν' αὐτὸς ὁ Καικιλιανὸς μετὰ δέκα ἐπισκόπων τῶν αὐτὸν εὐθύνειν δοκούντων
καὶ δέκα ἑτέρων οὓς αὐτὸς τῇ ἑαυτοῦ δίκῃ ἀναγκαίους ὑπολάβοι, εἰς τὴν Ῥώμην
πλῷ ἀπιέναι, ἵν' ἐκεῖσε ὑμῶν παρόντων, ἀλλὰ μὴν καὶ Ῥετικίου καὶ Ματέρνου
καὶ Μαρίνου, τῶν κολλήγων ὑμῶν, οὓς τούτου ἕνεκεν εἰς τὴν Ῥώμην προσέταξα
ἐπισπεῦσαι, δυνηθῇ ἀκουσθῆναι, ὡς ἂν καταμάθοιτε τῷ σεβασμιωτάτῳ νόμῳ ἁρ-
μόττειν. ἵνα μέντοι καὶ περὶ πάντων αὐτῶν τούτων πληρεστάτην δυνηθῆτε ἔχειν 20
γνῶσιν, τὰ ἀντίτυπα τῶν ἐγγράφων τῶν πρός με παρὰ Ἀνυλίνου ἀποσταλέντων
γράμμασιν ἐμοῖς ὑποτάξας, πρὸς τοὺς προειρημένους κολλήγας ὑμῶν ἐξέπεμψα·
οἷς ἐντυχοῦσα ἡ ὑμετέρα στερρότης δοκιμάσει ὅντινα χρὴ τρόπον τὴν προειρη-
μένην δίκην ἐπιμελέστατα διευκρινῆσαι καὶ κατὰ τὸ δίκαιον τερματίσαι, ὁπότε
μηδὲ τὴν ὑμετέραν ἐπιμέλειαν λανθάνει τοσαύτην με αἰδῶ τῇ ἐνθέσμῳ καθολικῇ
ἐκκλησίᾳ ἀπονέμειν, ὡς μηδὲν καθόλου σχίσμα ἢ διχοστασίαν ἔν τινι τόπῳ βούλε-
σθαί με ὑμᾶς καταλιπεῖν. ἡ θειότης ὑμᾶς τοῦ μεγάλου θεοῦ διαφυλάξει πολλοῖς
ἔτεσι, τιμιώτατε«.

*ΑΝΤΙΓΡΑΦΟΝ ΒΑΣΙΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ ΔΙ' ΗΣ ΠΡΟΣΤΑΤΤΕΙ ΔΕΥΤΕ-* 21
*ΡΑΝ ΓΕΝΕΣΘΑΙ ΣΥΝΟΔΟΝ ΥΠΕΡ ΤΟΥ ΠΑΣΑΝ ΤΩΝ ΕΠΙΣΚΟΠΩΝ ΠΕΡΙΕΛΕΙΝ ΔΙΧΟΣΤΑΣΙΑΝ*

»Κωνσταντῖνος Σεβαστὸς Χρήστῳ ἐπισκόπῳ Συρακουσίων. ἤδη μὲν πρότερον, ὅτε φαύλως καὶ ἐνδιαστρόφως τινὲς περὶ τῆς θρῃσκείας τῆς ἁγίας καὶ ἐπουρανίου

**887, 21**—S. 888, 20 Coll. Carthag. 3, 319 [Mansi IV 39] — **24**—S. 888, 3 vgl. Coll. Carthag. 3, 216. 220. 316 [Mansi IV 227. 39]. Augustin. ep. 88

**888, 21**—S. 890, 2 vgl. das Schreiben Constantins in Append. Optat. 3 [Corp. script. eccl. lat. 26, 204 ff.]

ATERM

**4** *αὐθαιρέτωσ* M *αὐθαίρετοσ* A$T^1$ER *αὐθαιρέτουσ* $T^r$ | **9** *ἀπιέναι* A$T^1$ERM *ἀπιέναι μὴ ἀναβαλῇ* $T^r$ vgl. zu 887, 12 und 889, 21/25 | **17** *λανθάνει* TR *λανθάνειν* AEM

889 δυνάμεως καὶ τῆς αἱρέσεως τῆς καθολικῆς ἀποδιίστασθαι ἤρξαντο, ἐπιτέμνεσθαι
βουληθεὶς τὰς τοιαύτας αὐτῶν φιλονεικίας, οὕτω διατετυπώκειν ὥστε ἀποσταλέν-
των ἀπὸ τῆς Γαλλίας τινῶν ἐπισκόπων, ἀλλὰ μὴν καὶ τούτων κληθέντων ἀπὸ τῆς
Ἀφρικῆς τῶν ἐξ ἐναντίας μοίρας καταλλήλως, ἐνστατικῶς καὶ ἐπιμόνως διαγωνιζο-
μένων παρόντος τε καὶ τοῦ τῆς Ῥώμης ἐπισκόπου, τοῦτο ὅπερ ἐδόκει κεκινῆσθαι,
δυνηθῇ ὑπὸ τῆς παρουσίας αὐτῶν μετὰ πάσης ἐπιμελοῦς διακρίσεως κατορθώσεως
τυχεῖν. ἀλλ᾽ ἐπειδή, ὡς συμβαίνει, ἐπιλαθόμενοί τινες καὶ τῆς σωτηρίας τῆς ἰδίας 22
καὶ τοῦ σεβάσματος τοῦ ὀφειλομένου τῇ ἁγιωτάτῃ αἱρέσει, ἔτι καὶ νῦν τὰς ἰδίας
ἔχθρας παρατείνειν οὐ παύονται, μὴ βουλόμενοι τῇ ἤδη ἐξενεχθείσῃ κρίσει συν-
τίθεσθαι καὶ διοριζόμενοι ὅτι δὴ ἄρα ὀλίγοι τινὲς τὰς γνώμας καὶ τὰς ἀποφάσεις
ἑαυτῶν ἐξήνεγκαν ἢ καὶ μὴ πρότερον ἁπάντων τῶν ὀφειλόντων ζητηθῆναι ἀκρι-
βῶς ἐξετασθέντων πρὸς τὸ τὴν κρίσιν ἐξενέγκαι πάνυ ταχέως καὶ ὀξέως ἔσπευσαν,
ἔκ τε τούτων ἁπάντων ἐκεῖνα συμβαίνει γενέσθαι, τὸ καὶ τούτους αὐτοὺς ἀδελφι-
κὴν καὶ ὁμόφρονα ὀφείλοντας ἔχειν ὁμοψυχίαν αἰσχρῶς, μᾶλλον δὲ μυσερῶς
ἀλλήλων ἀποδιεστάναι καὶ τοῖς ἀνθρώποις τοῖς ἀλλοτρίας ἔχουσι τὰς ψυχὰς ἀπὸ
τῆς ἁγιωτάτης θρῃσκείας ταύτης πρόφασιν χλεύης διδόναι, — ὅθεν προνοητέον
μοι ἐγένετο, ὅπως τοῦτο ὅπερ ἐχρῆν μετὰ τὴν ἐξενεχθεῖσαν ἤδη κρίσιν αὐθαιρέτῳ
συγκαταθέσει πεπαῦσθαι, κἂν νῦν ποτε δυνηθῇ πολλῶν παρόντων τέλους τυχεῖν.
ἐπειδὴ τοίνυν πλείστους ἐκ διαφόρων καὶ ἀμυθήτων τόπων ἐπισκόπους εἰς τὴν 23
Ἀρελατησίων πόλιν εἴσω Καλανδῶν Αὐγούστων συνελθεῖν ἐκελεύσαμεν, καὶ σοὶ 314
γράψαι ἐνομίσαμεν ἵνα λαβὼν παρὰ τοῦ λαμπροτάτου Λατρωνιανοῦ τοῦ κον-
ρήκτορος Σικελίας δημόσιον ὄχημα, συζεύξας σεαυτῷ καὶ δύο γέ τινας τῶν ἐκ
τοῦ δευτέρου θρόνου, οὓς ἂν σὺ αὐτὸς ἐπιλέξασθαι κρίνῃς, ἀλλὰ μὴν καὶ τρεῖς
παῖδας τοὺς δυνησομένους ὑμῖν κατὰ τὴν ὁδὸν ὑπηρετήσασθαι παραλαβών, εἴσω
τῆς αὐτῆς ἡμέρας ἐπὶ τῷ προειρημένῳ τόπῳ ἀπάντησον, ὡς ἂν διά τε τῆς σῆς 24
στερρότητος καὶ διὰ τῆς λοιπῆς τῶν συνιόντων ὁμοψύχου καὶ ὁμόφρονος συνέσεως
καὶ τοῦτο ὅπερ ἄχρι τοῦ δεῦρο φαύλως δι᾽ αἰσχράς τινας ζυγομαχίας παραμεμένη-
κεν, ἀκουσθέντων πάντων τῶν μελλόντων λεχθήσεσθαι παρὰ τῶν νῦν ἀπ᾽ ἀλλήλων
διεστώτων, οὕσπερ ὁμοίως παρεῖναι ἐκελεύσαμεν, δυνηθῇ εἰς τὴν ὀφειλομένην
890 θρῃσκείαν καὶ πίστιν ἀδελφικήν τε ὁμόνοιαν κἂν βραδέως ἀνακληθῆναι. ὑγιαί-
νοντά σε ὁ θεὸς ὁ παντοκράτωρ διαφυλάξει ἐπὶ πολλοῖς ἔτεσιν«.

ATERM

**1** ἐπιτέμνεσθαι TER ἐπιτεμέσθαι AM | **2** βουληθεὶσ A, T durch Rasur, R βουληθεὶσ εἰσ $T^1$EM | διατετυπώκειν E διετυπώκειν ATRM | **9** ἤδη ἐξενεχθείσῃ ATER διεξενεχθείσῃ M γρ τῇ διεξενεχθείσῃ $T^{cm}E^{1m}R^{1m}$ | **9/10** συντίθεσθαι A συντεθεῖσθαι TERM | **18** κἂν AM καὶ TER | **21/22** κονρήκτορος Valois κοντήκτοροσ ATE κοντίκτοροσ RM | **26** ὁμόφρονοσ A, σ auf Ras. $R^c$ ὁμοφρόνου TEM

## 890 *ΑΝΤΙΓΡΑΦΟΝ ΒΑΣΙΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ ΔΙ' ΗΣ ΧΡΗΜΑΤΑ ΤΑΙΣ ΕΚΚΛΗΣΙΑΙΣ ΔΩΡΕΙΤΑΙ* 6 1

*»Κωνσταντῖνος Αὔγουστος Καικιλιανῷ ἐπισκόπῳ Χαρταγένης. ἐπειδήπερ
ἤρεσεν κατὰ πάσας ἐπαρχίας, τάς τε Ἀφρικὰς καὶ τὰς Νουμιδίας καὶ τὰς Μαυρι-
τανίας, ῥητοῖς τισι τῶν ὑπηρετῶν τῆς ἐνθέσμου καὶ ἁγιωτάτης καθολικῆς θρη-
σκείας εἰς ἀναλώματα ἐπιχορηγηθῆναί τι, ἔδωκα γράμματα πρὸς Οὖρσον τὸν
διασημότατον καθολικὸν τῆς Ἀφρικῆς καὶ ἐδήλωσα αὐτῷ ὅπως τρισχιλίους φόλλεις
τῇ σῇ στερρότητι ἀπαριθμῆσαι φροντίσῃ. σὺ τοίνυν, ἡνίκα τὴν προδηλουμένην* 2
*ποσότητα τῶν χρημάτων ὑποδεχθῆναι ποιήσεις, ἅπασι τοῖς προειρημένοις κατὰ
τὸ βρέουιον τὸ πρός σε παρὰ Ὁσίου ἀποσταλὲν ταῦτα τὰ χρήματα διαδοθῆναι
κέλευσον. εἰ δ' ἄρα πρὸς τὸ συμπληρωθῆναί μου τὴν εἰς τοῦτο περὶ ἅπαντας* 3
*αὐτοὺς προαίρεσιν ἐνδεῖν τι καταμάθοις, παρὰ Ἡρακλείδα τοῦ ἐπιτρόπου τῶν
ἡμετέρων κτημάτων ἀναμφιλέκτως ὅπερ ἀναγκαῖον εἶναι καταμάθοις, αἰτῆσαι
ὀφείλεις. καὶ γὰρ παρόντι αὐτῷ προσέταξα ἵν' εἴ τι ἂν χρημάτων παρ' αὐτοῦ
ἡ σὴ στερρότης αἰτήσῃ, ἄνευ δισταγμοῦ τινος ἀπαριθμῆσαι φροντίσῃ. καὶ ἐπειδὴ* 4
*ἐπυθόμην τινὰς μὴ καθεστώσης διανοίας τυγχάνοντας ἀνθρώπους τὸν λαὸν τῆς
ἁγιωτάτης καὶ καθολικῆς ἐκκλησίας φαύλῃ τινὶ ὑπονοθεύσει βούλεσθαι διαστρέ-
φειν, γίνωσκέ με Ἀνυλίνῳ ἀνθυπάτῳ, ἀλλὰ μὴν καὶ Πατρικίῳ τῷ οὐικαρίῳ τῶν
ἐπάρχων παροῦσι τοιαύτας ἐντολὰς δεδωκέναι ἵν' ἐν τοῖς λοιποῖς ἅπασι καὶ τού-
του μάλιστα τὴν προσήκουσαν φροντίδα ποιήσωνται καὶ μὴ ἀνάσχωνται περιορᾶν
τοιοῦτο γινόμενον. διόπερ εἴ τινας τοιούτους ἀνθρώπους ἐν αὐτῇ τῇ μανίᾳ ἐπι-* 5
*μένειν κατίδοις, ἄνευ τινὸς ἀμφιβολίας τοῖς προειρημένοις δικασταῖς πρόσελθε
καὶ αὐτὸ τοῦτο προσανένεγκε ὅπως αὐτοὺς ἐκεῖνοι, καθάπερ αὐτοῖς παροῦσιν
ἐκέλευσα, ἐπιστρέψωσιν. ἡ θειότης τοῦ μεγάλου θεοῦ σε διαφυλάξει ἐπὶ πολλοῖς
ἔτεσιν«.*

## 891 *ΑΝΤΙΓΡΑΦΟΝ ΒΑΣΙΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ ΔΙ' ΗΣ ΤΟΥΣ ΠΡΟΕΣΤΩΤΑΣ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ ΠΑΣΗΣ ΑΠΟΛΕΛΥΣΘΑΙ ΤΗΣ ΠΕΡΙ ΤΑ ΠΟΛΙΤΙΚΑ ΛΕΙΤΟΥΡΓΙΑΣ ΠΡΟΣΤΑΤΤΕΙ* 7 1

*»Χαῖρε, Ἀνυλῖνε, τιμιώτατε ἡμῖν. ἐπειδὴ ἐκ πλειόνων πραγμάτων φαίνεται παρεξουθενηθεῖσαν τὴν θρησκείαν, ἐν ᾗ ἡ κορυφαία τῆς ἁγιωτάτης ἐπουρανίου αἰδὼς φυλάττεται, μεγάλους κινδύνους ἐνηνοχέναι τοῖς δημοσίοις πράγμασιν αὐτήν*

**1—20** vgl. zu 887, 24—888, 3

ATERM

**6** *νουμηδίασ Π*

**5** *τῆς ἁγιωτάτης ἐπουρανίου*] das Substantiv fehlt, Constantin kann *diuinitatis* oder *ueritatis* oder *prouidentiae* geschrieben haben, *δυνάμεως* Wendland nach 889, 1

891 τε ταύτην ἐνθέσμως ἀναληφθεῖσαν καὶ φυλαττομένην μεγίστην εὐτυχίαν τῷ Ῥω-
μαϊκῷ ὀνόματι καὶ σύμπασι τοῖς τῶν ἀνθρώπων πράγμασιν ἐξαίρετον εὐδαιμο-
νίαν παρεσχηκέναι, τῶν θείων εὐεργεσιῶν τοῦτο παρεχουσῶν, ἔδοξεν ἐκείνους
τοὺς ἄνδρας τοὺς τῇ ὀφειλομένῃ ἁγιότητι καὶ τῇ τοῦ νόμου τούτου παρεδρίᾳ τὰς
ὑπηρεσίας τὰς ἐξ αὐτῶν τῇ τῆς θείας θρῃσκείας θεραπείᾳ παρέχοντας τῶν κα-
μάτων τῶν ἰδίων τὰ ἔπαθλα κομίσασθαι, Ἀνυλῖνε τιμιώτατε. διόπερ ἐκείνους 2
τοὺς εἴσω τῆς ἐπαρχίας τῆς σοι πεπιστευμένης ἐν τῇ καθολικῇ ἐκκλησίᾳ, ᾗ Καικι-
λιανὸς ἐφέστηκεν, τὴν ἐξ αὐτῶν ὑπηρεσίαν τῇ ἁγίᾳ ταύτῃ θρῃσκείᾳ παρέχοντας,
οὕσπερ κληρικοὺς ἐπονομάζειν εἰώθασιν, ἀπὸ πάντων ἅπαξ ἁπλῶς τῶν λειτουρ-
γιῶν βούλομαι ἀλειτουργήτους διαφυλαχθῆναι, ὅπως μὴ διά τινος πλάνης ἢ ἐξο-
λισθήσεως ἱεροσύλου ἀπὸ τῆς θεραπείας τῆς τῇ θειότητι ὀφειλομένης ἀφέλκωνται,
ἀλλὰ μᾶλλον ἄνευ τινὸς ἐνοχλήσεως τῷ ἰδίῳ νόμῳ ἐξυπηρετῶνται, ὧνπερ με-
γίστην περὶ τὸ θεῖον λατρείαν ποιουμένων πλεῖστον ὅσον τοῖς κοινοῖς πράγμασι
συνοίσειν δοκεῖ. ἔρρωσο, Ἀνυλῖνε, τιμιώτατε καὶ ποθεινότατε ἡμῖν«.

Τοιαῦτα μὲν οὖν ἡμῖν ἡ θεία καὶ οὐράνιος τῆς τοῦ σωτῆρος E 8 1
ἡμῶν ἐπιφανείας ἐδωρεῖτο χάρις, τοσαύτη τε ἅπασιν ἀνθρώποις
ἀγαθῶν ἀφθονία διὰ τῆς ἡμετέρας ἐπρυτανεύετο εἰρήνης. καὶ
ὧδε μὲν τὰ καθ' ἡμᾶς ἐν εὐφροσύναις καὶ πανηγύρεσιν ἐτελεῖτο·
892 οὐκ ἦν δὲ ἄρα τῷ μισοκάλῳ φθόνῳ τῷ τε φιλοπονήρῳ δαίμονι φορη- 2
τὸς ἡ τῶν ὁρωμένων θέα, ὥσπερ οὖν οὐδὲ Λικιννίῳ πρὸς σώφρονα
λογισμὸν ἐτύγχανεν αὐτάρκη τὰ τοῖς πρόσθεν δεδηλωμένοις τυ-
ράννοις συμβεβηκότα· ὃς εὖ φερομένης τῆς ἀρχῆς αὐτῷ βασιλέως τε
μεγάλου Κωνσταντίνου δευτερείων τιμῆς ἐπιγαμβρίας τε καὶ συγγε-
νείας τῆς ἀνωτάτω ἠξιωμένος, μιμήσεως μὲν τῆς τῶν καλῶν ἀπε-
λιμπάνετο, τῆς δὲ τῶν ἀσεβῶν τυράννων μοχθηρίας ἐζήλου τὴν
κακοτροπίαν, καὶ ὧν τοῦ βίου τὴν καταστροφὴν ἐπεῖδεν αὐτοῖς ὀφ-
θαλμοῖς, τούτων ἕπεσθαι τῇ γνώμῃ μᾶλλον ἢ τῇ τοῦ κρείττονος
ἐμμένειν φιλίᾳ τε καὶ διαθέσει ᾑρεῖτο. διαφθονηθείς γέ τοι τῷ 3
πανευεργέτῃ, πόλεμον δυσαγῆ καὶ δεινότατον πρὸς αὐτὸν ἐκφέρει,
οὐ φύσεως νόμων φεισάμενος, οὐχ ὁρκωμοσιῶν οὐχ αἵματος οὐ συν-
θηκῶν μνήμην ἐν διανοίᾳ λαβών. ὁ μὲν γὰρ αὐτῷ οἷα πανάγαθος 4
βασιλεὺς εὐνοίας παρέχων ἀληθοῦς σύμβολα, συγγενείας τῆς πρὸς
αὐτὸν οὐκ ἐφθόνησεν γάμων τε λαμπρῶν ἀδελφῆς μετουσίαν οὐκ

1—S. 894, 1 vgl. Vit. Const. 30, 22—31, 10

ATERM

**16** σ' ευσεβειαν ως ἀληθῶσ εἰλικρινεστάτην βασιλέωσ $T^m$ | **18** ἐξυπηρε-
τῶνται $T^c$ER ὑπηρετῶνται M ἐξυπηρετοῦνται $AT^1$

892 ἀπηρνήσατο, ἀλλὰ καὶ τῆς ἐκ πατέρων εὐγενείας βασιλικοῦ τε ἀνέ-
καθεν αἵματος κοινωνὸν γενέσθαι ἠξίωσεν τῆς τε κατὰ πάντων
ἀπολαύειν ἀρχῆς οἷα κηδεστῇ καὶ συμβασιλεῖ παρεῖχεν τὴν ἐξουσίαν,
οὐκ ἔλαττον μέρος τῶν ὑπὸ Ῥωμαίους ἐθνῶν διέπειν αὐτῷ καὶ διοι-
κεῖν κεχαρισμένος. ὁ δ' ἔμπαλιν τούτοις τἀναντία διεπράττετο, 5
παντοίας ὁσημέραι κατὰ τοῦ κρείττονος μηχανὰς ἐπιτεχνώμενος
πάντας τε ἐπινοῶν ἐπιβουλῆς τρόπους, ὡς ἂν κακοῖς τὸν εὐεργέτην
ἀμείψοιτο. τὰ μὲν οὖν πρῶτα πειρώμενος τὴν συσκευὴν ἐπι-
κρύπτειν, φίλος εἶναι προσεποιεῖτο, δόλῳ τε καὶ ἀπάτῃ πλειστάκις
ἐπιθέμενος ῥᾷστα ἂν τυχεῖν τοῦ προσδοκωμένου ἤλπισεν· τῷ δὲ 6
ἄρα ὁ θεὸς ἦν φίλος κηδεμών τε καὶ φύλαξ, ὃς αὐτῷ τὰς ἐν
ἀπορρήτῳ καὶ σκότει μηχανωμένας ἐπιβουλὰς εἰς φῶς ἄγων διή-
894 λεγχεν. τοσοῦτον ἀρετῆς τὸ μέγα τῆς θεοσεβείας ὅπλον πρὸς
ἄμυναν μὲν ἐχθρῶν, οἰκείας δὲ φυλακὴν σωτηρίας ἰσχύει· ᾧ δὴ πε-
φραγμένος ὁ θεοφιλέστατος ἡμῶν βασιλεὺς τὰς τοῦ δυσωνύμου
πολυπλόκους ἐπιβουλὰς διεδίδρασκεν. ὃ δὲ τὴν λαθραίαν συσκευὴν 7
ὡς οὐδαμῶς ἑώρα κατὰ γνώμην αὐτῷ χωροῦσαν, τοῦ θεοῦ πάντα
δόλον τε καὶ ῥᾳδιουργίαν τῷ θεοφιλεῖ βασιλεῖ κατάφωρα ποι-
οῦντος, οὐκέθ' οἷός τε ὢν ἐπικρύπτεσθαι, προφανῆ πόλεμον αἱρε-
ται. ὁμόσε δῆτα Κωνσταντίνῳ πολεμεῖν διαγνούς, ἤδη καὶ κατὰ 8
τοῦ θεοῦ τῶν ὅλων, ὃν ἠπίστατο σέβειν αὐτόν, παρατάττεσθαι
ὡρμᾶτο, κἄπειτα τοὺς ὑπ' αὐτῷ θεοσεβεῖς, μηδὲν μηδ' ὅλως πώ-
ποτε τὴν ἀρχὴν αὐτοῦ λυπηρὸν διαθεμένους, ἠρέμα τέως καὶ ἡσυχῇ
πολιορκεῖν ἐπεβάλλετο. καὶ τοῦτ' ἔπραττεν, δεινῶς ἀβλεπτεῖν
ὑπὸ τῆς ἐμφύτου κακίας ἠναγκασμένος. οὔτ' οὖν τὴν μνήμην τῶν 9
πρὸ αὐτοῦ Χριστιανοὺς ἐκδιωξάντων πρὸ ὀφθαλμῶν ἔθετο οὐδ'
ὧν αὐτὸς ὀλετὴρ καὶ τιμωρὸς δι' ἃς μετῆλθον ἀσεβείας κατέστη·
ἀλλὰ γὰρ τοῦ σώφρονος ἐκτραπεὶς λογισμοῦ, διαρρήδην δὲ μανεὶς
τὰς φρένας, τὸν θεὸν αὐτὸν οἷα δὴ Κωνσταντίνου βοηθὸν ἀντὶ τοῦ
βοηθουμένου πολεμεῖν ἐγνώκει. καὶ πρῶτα μὲν τῆς οἰκίας τῆς 10
αὐτοῦ πάντα Χριστιανὸν ἀπελαύνει, ἔρημον αὐτὸς αὐτὸν ὁ δείλαιος

**8—12** vgl. Vit. Const. 31, 14—19 — **13—17** vgl. Vit. Const. 34, 2—5 — **18**—S. 898, 26 vgl. Vit. Const. 32, 7. 8. 27—33, 18. 22—34, 1. 40, 7—41, 15

ATERBDMΣΔ

**16** *εὐγενείασ* $T^{em}$ERBD *συγγενείασ* A$T^1$MΣ [Vit. Const. 31, 2] | **18** *ἀπο-λαύειν* ABD [Vit. Const. 31, 4] *βασιλεύειν* TERM

**1** *ἀρετῆσ τὸ* A$T^1$$E^1$BDM *ἀρετὴ τὸ* $T^c$ *ἀρετη* E durch Rasur corr. *ἀρετῆ* R | **2** *δὲ* > M | *ᾧ δὴ* AM *ὧν δὲ* B *ὧν δὲ* D *//ν δὲ* $T^1$ *ἧι* $T^r$ auf Rasur, ER | **19** *ἀπελαύνει* AVER [Vit. Const. 32, 8] *ἐλαύνει* BDM

894 τῆς τούτων καθιστὰς ὑπὲρ αὐτοῦ πρὸς τὸν θεὸν εὐχῆς, ἣν ὑπὲρ
ἁπάντων αὐτοῖς ποιεῖσθαι πάτριον μάθημα τυγχάνει· εἶτα δὲ τοὺς
κατὰ πόλιν στρατιώτας ἐκκρίνεσθαι καὶ ἀποβάλλεσθαι τοῦ τῆς τιμῆς
ἀξιώματος, εἰ μὴ τοῖς δαίμοσιν θύειν αἱροῖντο, παρακελεύεται. καὶ
ἔτι γε ταῦτα ἦν μικρά, τῇ τῶν μειζόνων συγκρινόμενα παραθέ-
σει. τί δεῖ τῶν καθ' ἕκαστα καὶ κατὰ μέρος τῷ θεομισεῖ πε- 11
πραγμένων μνημονεύειν ὅπως τε νόμους ἀνόμους ὁ παρανομώτατος
896 ἐξεῦρεν; τούς γέ τοι ἐν ταῖς εἱρκταῖς ταλαιπωρουμένους ἐνομοθέτει
μηδένα μεταδόσει τροφῆς φιλανθρωπεύεσθαι μηδ' ἐλεεῖν τοὺς ἐν
δεσμοῖς λιμῷ διαφθειρομένους μηδ' ἁπλῶς ἀγαθὸν εἶναι μηδένα
μηδ' ἀγαθόν τι πράττειν τοὺς καὶ πρὸς αὐτῆς τῆς φύσεως ἐπὶ τὸ
συμπαθὲς τῶν πέλας ἑλκομένους. καὶ ἦν γε νόμων οὗτος ἄντι-
κρυς ἀναιδὴς καὶ ἀπηνέστατος, πᾶσαν ἥμερον ὑπερεξάγων φύσιν,
ἐφ' ᾧ καὶ τιμωρία προσέκειτο τοὺς ἐλεοῦντας τὰ ἴσα πάσχειν τοῖς
ἐλεουμένοις δεσμοῖς τε καὶ φυλακαῖς καθείργνυσθαι, τὴν ἴσην τοῖς
καταπονουμένοις ὑπομένοντας τιμωρίαν, τοὺς τὰ φιλάνθρωπα δια-
κονουμένους. τοιαῦται αἱ Λικιννίου διατάξεις. τί χρὴ τὰς περὶ 12
γάμων καινοτομίας ἀπαριθμεῖσθαι ἢ τοὺς ἐπὶ τοῖς τὸν βίον μετ-
αλλάττουσιν νεωτερισμοὺς αὐτοῦ, δι' ὧν τοὺς παλαιοὺς Ῥωμαίων
εὖ καὶ σοφῶς κειμένους νόμους περιγράψαι τολμήσας, βαρβάρους
τινὰς καὶ ἀνημέρους ἀντεισῆγεν, νόμους ἀνόμους ὡς ἀληθῶς καὶ
παρανόμους, ἐπισκήψεις τε μυρίας κατὰ τῶν ὑποχειρίων ἐθνῶν
ἐπενόει χρυσοῦ τε καὶ ἀργύρου παντοίας εἰσπράξεις ἀναμετρήσεις
τε γῆς καὶ τῶν κατ' ἀγροὺς μηκέτ' ὄντων ἀνθρώπων πρόπαλαι δὲ
κατοιχομένων ἐπιζήμιον κέρδος, οἵους δ' ἐφεῦρεν ἐπὶ τούτοις ὁ 13
μισάνθρωπος κατὰ μηδὲν ἠδικηκότων ἐξορισμούς, οἵας εὐπατριδῶν
καὶ ἀξιολόγων ἀνδρῶν ἀπαγωγάς, ὧν δὴ τὰς κουριδίας ἀποζευγνὺς
γαμετὰς μιαροῖς τισιν οἰκέταις ἐφ' ὕβρει πράξεως αἰσχρᾶς παρεδίδου,
ὅσαις δὲ αὐτὸς ὁ ἐσχατόγηρως γυναιξὶν ὑπάνδροις παρθένοις τε
κόραις ἐμπαροινῶν τὴν ἀκόλαστον τῆς αὐτοῦ ψυχῆς ἐπιθυμίαν
ἐπλήρου — τί χρὴ ταῦτα μηκύνειν, τῆς τῶν ἐσχάτων αὐτοῦ πράξεων
ὑπερβολῆς μικρὰ τὰ πρῶτα καὶ τὸ μηθὲν εἶναι διελεγχούσης; τὸ 14
γοῦν τέλος αὐτῷ τῆς μανίας ἐπὶ τοὺς ἐπισκόπους ἐχώρει, ἤδη τε
τούτους, ὡς ἂν τοῦ ἐπὶ πάντων θεοῦ θεράποντας, ἐναντίους ὑπάρ-
χειν οἷς ἔδρα ἡγούμενος, οὔπω μὲν ἐκ τοῦ φανεροῦ διὰ τὸν ἀπὸ
τοῦ κρείττονος φόβον, λάθρα δὲ αὖθις καὶ δολίως συνεσκευάζετο,

ATERBDMΣΔ

**25/26** τῶν — πεπραγμένων T^cERBΣ τούτων — πεπραγμένων T^1M τῶν — πεπραγμένα D τούτων τὰ — πεπραγμένα A

**19** ἐξορισμοὺς BDΣ [vgl. Vit. Const. 33, 23] ἐξορκισμοὺς ATERM

896 ἀνήρει τε τούτων δι᾿ ἐπιβουλῆς τῶν ἡγεμόνων τοὺς δοκιμωτά-
τους. καὶ ὁ τρόπος δὲ τοῦ κατ᾿ αὐτῶν φόνου ξένος τις ἦν καὶ
898 οἷος οὐδεπώποτε ἠκούσθη. τὰ γοῦν ἀμφὶ τὴν Ἀμάσειαν καὶ τὰς 15
λοιπὰς τοῦ Πόντου πόλεις κατεργασθέντα πᾶσαν ὑπερβολὴν ὠμό-
τητος ὑπερηκόντισεν· ἔνθα τῶν ἐκκλησιῶν τοῦ θεοῦ αἳ μὲν ἐξ ὕψους
εἰς ἔδαφος αὖθις κατερρίπτοντο, τὰς δὲ ἀπέκλειον, ὡς ἂν μὴ συνά-
γοιτό τις τῶν εἰωθότων μηδὲ τῷ θεῷ τὰς ἐποφειλομένας ἀποδιδῷ
λατρείας. συντελεῖσθαι γὰρ οὐχ ἡγεῖτο ὑπὲρ αὐτοῦ τὰς εὐχάς, 16
συνειδότι φαύλῳ τοῦτο λογιζόμενος, ἀλλ᾿ ὑπὲρ τοῦ θεοφιλοῦς βασι-
λέως πάντα πράττειν ἡμᾶς καὶ τὸν θεὸν ἱλεοῦσθαι πέπειστο· ἔνθεν
ὡρμᾶτο καθ᾿ ἡμῶν τὸν θυμὸν ἐπισκήπτειν. καὶ δῆτα τῶν ἡγε- 17
μόνων οἱ κόλακες, τὰ φίλα πράττειν τῷ δυσαγεῖ πεπεισμένοι, τῶν
ἐπισκόπων τοὺς μὲν συνήθως ταῖς τῶν κακούργων ἀνδρῶν περιέ-
βαλλον τιμωρίαις, ἀπήγοντό τε καὶ ἐκολάζοντο ἀπροφασίστως τοῖς
μιαιφόνοις ὁμοίως οἱ μηδὲν ἠδικηκότες· ἤδη δέ τινες καινοτέραν
ὑπέμενον τελευτήν, ξίφει τὸ σῶμα εἰς πολλὰ τμήματα κατακρεουρ-
γούμενοι καὶ μετὰ τὴν ἀπηνῆ ταύτην καὶ φρικτοτάτην θέαν τοῖς
τῆς θαλάσσης βυθοῖς ἰχθύσιν εἰς βορὰν ῥιπτούμενοι. φυγαὶ δὴ 18
αὖθις ἐπὶ τούτοις τῶν θεοσεβῶν ἐγίνοντο ἀνδρῶν, καὶ πάλιν ἀγροὶ
καὶ πάλιν ἐρημίαι νάπαι τε καὶ ὄρη τοὺς Χριστοῦ θεράποντας ὑπε-
δέχοντο. ἐπεὶ δὲ καὶ ταῦτα τοῦτον προυχώρει τῷ δυσσεβεῖ τὸν
τρόπον, λοιπὸν καὶ τὸν κατὰ πάντων ἀνακινεῖν διωγμὸν ἐπὶ διά-
νοιαν ἐβάλλετο, ἐκράτει τε γνώμης καὶ οὐδὲν ἐμποδὼν ἦν αὐτῷ μὴ 19
οὐχὶ ἐν ἔργῳ χωρεῖν, εἰ μὴ τάχιστα τὸ μέλλον ἔσεσθαι προλαβὼν ὁ
τῶν οἰκείων ψυχῶν ὑπέρμαχος θεὸς ὡς ἐν βαθεῖ σκότῳ καὶ νυκτὶ
ζοφωδεστάτῃ φωστῆρα μέγαν ἀθρόως καὶ σωτῆρα τοῖς πᾶσιν ἐξέ-
λαμψεν, τὸν αὐτοῦ θεράποντα Κωνσταντῖνον ὑψηλῷ βραχίονι ἐπὶ
τὰ τῇδε χειραγωγήσας. τούτῳ μὲν οὖν ἄνωθεν ἐξ οὐρανοῦ καρ- 9 1
πὸν εὐσεβείας ἐπάξιον τὰ τρόπαια τῆς κατὰ τῶν ἀσεβῶν παρεῖχε
νίκης, τὸν δ᾿ ἀλιτήριον αὐτοῖς συμβούλοις ἅπασιν καὶ φίλοις ὑπὸ
τοῖς Κωνσταντίνου ποσὶν πρηνῆ κατέβαλεν. ὡς γὰρ εἰς ἔσχατα 2
μανίας τὰ κατ᾿ αὐτὸν ἤλαυνεν, οὐκέτ᾿ ἀνεκτὸν εἶναι λογισάμενος
βασιλεὺς ὁ τῷ θεῷ φίλος τὸν σώφρονα συναγαγὼν λογισμὸν καὶ
900 τὸν στερρὸν τοῦ δικαίου τρόπον φιλανθρωπίᾳ κερασάμενος, ἐπα-

**25** Exod. 6, 1 und öfter — **30**—S. 900, 9 vgl. Vit. Const. 41, 16—27

ATERBD, M [—13 *καινοτέραν*], ΣΛ

**31** *αὐτῶν* AR$^{c}$BDM$^{1}$Σ [Vit. Const. 40, 12] *αὐτὸν* TER$^{1}$M$^{c}$

**7** *συνειδότι — λογιζόμενος* > Σ | **8** *ἡμᾶς* > Σ

**1** *κερασάμενοσ* BDΣ [uit. Const. 41, 18] *κεράσασ ἄσμενοσ* TER *κερασάμενοσ ἄσμενοσ* A

900 μῦναι κρίνει τοῖς ὑπὸ τῷ τυράννῳ ταλαιπωρουμένοις, καὶ τό γε
πλεῖστον ἀνθρώπων γένος, βραχεῖς λυμεῶνας ἐκποδὼν ποιησάμενος,
ἀνασώσασθαι ὁρμᾶται. μόνῃ γὰρ αὐτῷ χρωμένῳ φιλανθρωπίᾳ 3
τὸν πρὸ τούτου χρόνον καὶ τὸν οὐ συμπαθείας ἄξιον ἐλεοῦντι, τῷ
μὲν οὐδὲν ἐγίνετο πλέον, τῆς κακίας οὐκ ἀπαλλαττομένῳ, αὔξοντι
δὲ μᾶλλον τὴν κατὰ τῶν ὑποχειρίων ἐθνῶν λύτταν, τοῖς δὲ κακου-
μένοις οὔτις ἐλείπετο σωτηρίας ἐλπίς, ὑπὸ δεινῷ θηρὶ κατατυραννου-
μένοις. δι' ὃ δὴ τῷ φιλαγάθῳ μίξας τὸ μισοπόνηρον ὁ τῶν 4
ἀγαθῶν ἀρωγὸς πρόεισιν ἅμα παιδὶ Κρίσπῳ βασιλεῖ φιλανθρωπο-
τάτῳ, σωτήριον δεξιὰν ἅπασιν τοῖς ἀπολλυμένοις ἐκτείνας· εἶθ' οἷα
παμβασιλεῖ θεῷ θεοῦ τε παιδὶ σωτῆρι ἁπάντων ποδηγῷ καὶ συμ-
μάχῳ χρώμενοι, πατὴρ ἅμα καὶ υἱὸς ἄμφω κύκλῳ διελόντες τὴν
κατὰ τῶν θεομισῶν παράταξιν, ῥᾳδίαν τὴν νίκην ἀποφέρονται, τῶν
κατὰ τὴν συμβολὴν πάντων ἐξευμαρισθέντων αὐτοῖς ὑπὸ τοῦ θεοῦ
κατὰ γνώμην. ἀθρόως δῆτα καὶ λόγου θᾶττον οἱ μὲν χθὲς καὶ 5
πρὸ ἡμέρας θανάτου πνέοντες καὶ ἀπειλῆς οὐκέτ' ἦσαν, οὐδὲ μέχρις
ὀνόματος μνημονευόμενοι, γραφαί τε αὐτῶν καὶ τιμαὶ τὴν ἀξίαν
αἰσχύνην ἀπελάμβανον, καὶ ἃ τοῖς πάλαι δυσσεβέσιν τυράννοις ἐν-
εῖδεν αὐτοῖς ὀφθαλμοῖς Λικίννιος, ταῦτα ὁμοίως καὶ αὐτὸς ἔπασχεν,
ὅτι μηδ' αὐτὸς ἐδέξατο παιδείαν μηδὲ ἐπὶ ταῖς τῶν πέλας ἐσωφρο-
νίσθη μάστιξιν, τὴν ὁμοίαν δ' ἐκείνοις τῆς ἀσεβείας μετελθὼν ὁδόν,
ἐπὶ τὸν ἴσον αὐτοῖς ἐνδίκως περιηνέχθη κρημνόν. ἀλλ' οὗτος μὲν 6
ταύτῃ πῃ βεβλημένος ἔκειτο· ὁ δ' ἀρετῇ πάσῃ θεοσεβείας ἐκπρέπων
902 μέγιστος νικητὴς Κωνσταντῖνος σὺν παιδὶ Κρίσπῳ, βασιλεῖ θεο-
φιλεστάτῳ καὶ τὰ πάντα τοῦ πατρὸς ὁμοίῳ, τὴν οἰκείαν ἑῴαν ἀπε-
λάμβανον καὶ μίαν ἡνωμένην τὴν Ῥωμαίων κατὰ τὸ παλαιὸν παρ-
εῖχον ἀρχήν, τὴν ἀπ' ἀνίσχοντος ἡλίου πᾶσαν ἐν κύκλῳ κατὰ
θάτερα τῆς οἰκουμένης ἄρκτον τε ὁμοῦ καὶ μεσημβρίαν εἰς ἔσχατα

**17** Act. 9, 1 — vgl. Apoc. 17, 8. 11 — **21/22** vgl. Hierem. 2, 30 — **23**—S. 902, 17 Vit. Const. 48, 22—49, 11

ATERBDΣΛ

**8** *θηρὶ* BD *θηρίῳ* ATER | **8/9** *κατατυραννουμένοισ* BDΣ *καταπονουμένοισ* ATER | **10/11** *ἅμα — φιλανθρωποτάτωι* > Σ, die Erwähnungen des Crispus sind von Eus. selbst nach 326 getilgt | **10** *πρίσκω*, *π* und *κ* auf Rasur R[c] | **12** *τε* T[c]T[r]ERBDΣ > AT[1] | **13** *πατὴρ — ἄμφω* >, die Plurale in den Singular verwandelt Σ vgl. zu 10 | **19/20** *ἐνεῖδεν* ATER *ἐπεῖδεν* BD | **21** *ἐπὶ* BD > ATER | **24** *ἐκπρέπων* BDΣ [Vit. Const. 48, 22] *ἐκπρεπῶσ* ATER

**1** *πρίσκω* R | **1/2** *mit seinen gottliebenden Söhnen welche ihrem Vater in allem glichen* Σ *cum filiis* Λ vgl. zu 900, 10 | **2** *τὰ* BD *κατὰ* ATER | **5/6** *ἄρκτον — ἡμέρας* > Σ

902 *δυομένης ἡμέρας ὑπὸ τὴν αὐτῶν ἄγοντες εἰρήνην.    ἀφῄρητο δ'* 7
*οὖν ἐξ ἀνθρώπων πᾶν δέος τῶν πρὶν αὐτοὺς πιεζούντων, λαμπρὰς*
*δ' ἐτέλουν καὶ πανηγυρικὰς ἑορτῶν ἡμέρας, ἦν τε φωτὸς ἔμπλεα*
*πάντα, καὶ μειδιῶσι προσώποις ὄμμασί τε φαιδροῖς οἱ πρὶν κατηφεῖς*
*ἀλλήλους ἔβλεπον, χορεῖαι δ' αὐτοῖς καὶ ὕμνοι κατὰ πόλεις ὁμοῦ*
*καὶ ἀγροὺς τὸν παμβασιλέα θεὸν πρώτιστα πάντων, ὅτι δὴ τοῦτ'*
*ἐδιδάχθησαν, κἄπειτα τὸν εὐσεβῆ βασιλέα παισὶν ἅμα θεοφιλέσιν*
*ἐγέραιρον, κακῶν δ' ἀμνηστία παλαιῶν ἦν καὶ λήθη πάσης δυσσε-* 8
*βείας, παρόντων δ' ἀγαθῶν ἀπόλαυσις καὶ προσέτι μελλόντων*
*προσδοκίαι. ἤπλωντο δ' οὖν κατὰ πάντα τόπον τοῦ νικητοῦ βασι-*
*λέως φιλανθρωπίας ἔμπλεοι διατάξεις νόμοι τε μεγαλοδωρεᾶς καὶ*
*ἀληθοῦς εὐσεβείας γνωρίσματα περιέχοντες. οὕτω δῆτα πάσης τυ-* 9
*ραννίδος ἐκκαθαρθείσης, μόνοις ἐφυλάττετο τὰ τῆς προσηκούσης*
*βασιλείας βέβαιά τε καὶ ἀνεπίφθονα Κωνσταντίνῳ καὶ τοῖς αὐτοῦ*
*παισίν, οἳ τῶν πρόσθεν ἁπάντων ἀποσμήξαντες τοῦ βίου τὴν θεο-*
*στυγίαν, τῶν ἐκ θεοῦ πρυτανευθέντων ἀγαθῶν αὐτοῖς ᾐσθημένως τὸ*
*φιλάρετον καὶ θεοφιλὲς τό τε πρὸς τὸ θεῖον εὐσεβὲς καὶ εὐχάριστον*
*δι' ὧν εἰς προὖπτον ἅπασιν ἀνθρώποις παρέσχον ὁρᾶν, ἐπεδείξαντο.*

**17—24** Umänderung eines älteren Schlusses, vgl. 852, 9—14

ATERBDΣΛ

**8** *τε* BD *δὲ* ATER | **12** *πᾶσιν* Σ | **15** *ἤπλωντο* A *ἤπλωτο* TERBD | *δ' οὖν* ATER *γ' οὖν* BD | **20** *ἁπάντων* BD *πάντων* ATER vgl. 852, 11 | **20/21** *τοῦ βίου τὴν θεοστυγίαν* BD [852, 11] *τὴν θεοστυγίαν τοῦ βίου* ATER | **21** *ᾐσθημένωσ* $T^1$ERBD [852, 12] *ᾐσθημένοι* $AT^r$ *und wir spürten* Σ | **23** *δι' ὧν—ἐπεδείξαντο* ATERΣ *διὰ τῆσ ὑπὲρ χριστιανῶν ἐνεδείξαντο νομοθεσίασ* BD

*τέλοσ σὺν θω τοῦ δεκάτου λόγου τῆσ ἐκκλησιαστικῆσ ἱστορίασ εὐσεβίου τοῦ παμφίλου* A

*εὐσεβίου τοῦ παμφίλου ἐκκλησιαστικῆσ ἱστορίασ τόμοι δέκα* T

*τέλοσ τοῦ ἴ τόμου* E

Es fügen hinzu

*Ἀντίγραφον διατάξεωσ τοῦ θεοφιλοῦσ βασιλέωσ ἣν τοὺσ τυράννουσ καθελὼν τοῖσ ὑπ' αὐτὸν ἔθνεσιν ἑλληνικῇ συντάξασ φωνῇ διεπέμψατο:*

*νικητὴσ κωνσταντῖνοσ μέγιστοσ σεβαστὸσ ἐπαρχιώταισ παλαιστινοῖσ:* [= Vit. Const. 2, 24—42] EBD desin. *ἐν τοῖσ ἀνατολικοῖσ ἡμετέροις μέρεσιν: — ταῦτα μὲν οὖν ὧδέ μοι κείσθω· φέρε δὲ λοιπὸν τοὺσ νόμουσ καὶ τὰσ ὑπὲρ τῆσ ἀληθοῦσ εὐσεβείασ τοῦ θεοφιλοῦσ ἡμῶν καὶ πραοτάτου βασιλέωσ ἐπιστολάσ, ἀφ' ἑτέρασ ἀρχῆσ ὁμοῦ πάσασ συναγάγωμεν: — εὐσεβίου ἐκκλησιαστικῆσ ἱστορίασ βιβλίον δέκατον* E *ἐν τοῖσ ἀνατολικοῖσ — συναγάγωμεν: — τέλοσ σὺν θω τῆσ ὅλησ ἐκκλησιαστικῆσ ἱστορίασ εὐσεβίου τοῦ παμφίλου, ἤτοι τῶν δέκα τόμων: —* B *σύμφωνον ἐπιδείξονται: —* D [am Ende des Blattes]